GREEK SERIES · VOLUME 39

The Iliad

Homer

ΙΛΙΑΣ

The Iliad

Part Three: Books XVII–XXIV

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 39 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Monro and Allen's text of the Iliad, third edition, 1920

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

CONTENTS

BOOK XVII

XVII.1 · Menelaus Kills Euphorbus 9
XVII.2 · Hector Takes the Armor 14
XVII.3 · Hector Puts On the Armor 19
XVII.4 · The Fight over the Body 26
XVII.5 · Aeneas Rallies the Trojans 32
XVII.6 · The Horses of Achilles 40
XVII.7 · Zeus Turns the Battle 49
XVII.8 · The Body Carried Off 55

BOOK XVIII

XVIII.1 · Achilles Hears the News 65
XVIII.2 · Thetis Comes to Her Son 68
XVIII.3 · The Shout from the Ditch 76
XVIII.4 · Polydamas' Counsel 83
XVIII.5 · The Mourning for Patroclus 88
XVIII.6 · Thetis Visits Hephaestus 92
XVIII.7 · The Shield: The Two Cities 99
XVIII.8 · The Shield: Field and Dance 105

BOOK XIX

XIX.1 · Thetis Brings the Armor 111
XIX.2 · The Quarrel Ended 114
XIX.3 · Odysseus Urges a Meal 122
XIX.4 · Briseis Laments 128
XIX.5 · Achilles' Lament 134
XIX.6 · The Horse Speaks 137

BOOK XX

XX.1 · The Gods Go to War 143
XX.2 · Apollo Sends Aeneas 148
XX.3 · Aeneas' Lineage 155
XX.4 · Poseidon Saves Aeneas 162
XX.5 · The Death of Polydorus 169
XX.6 · Achilles' Rampage 174

BOOK XXI

XXI.1 · The Rout into the River 181
XXI.2 · Lycaon 184
XXI.3 · Asteropaeus 191
XXI.4 · Achilles and the River 197
XXI.5 · Hera Calls Hephaestus 201
XXI.6 · Fire Against Water 207
XXI.7 · The Gods Fight 210
XXI.8 · Hera and Artemis 217
XXI.9 · Agenor 221

BOOK XXII

XXII.1 · Priam and Hecuba Plead 229
XXII.2 · Hector Flees 236
XXII.3 · The Scales of Zeus 242
XXII.4 · The Death of Hector 248
XXII.5 · The Body Dragged 254
XXII.6 · Andromache's Lament 259

BOOK XXIII

XXIII.1 · The Ghost of Patroclus 269
XXIII.2 · The Pyre of Patroclus 277
XXIII.3 · The Prizes Set Out 285
XXIII.4 · Nestor's Advice 290
XXIII.5 · The Chariot Race 295
XXIII.6 · The Finish 302
XXIII.7 · Antilochus and Menelaus 308
XXIII.8 · Boxing and Wrestling 316
XXIII.9 · The Footrace and the Duel 323
XXIII.10 · The Weight, the Bow, and the Spear 329

BOOK XXIV

XXIV.1 · The Gods Debate 335
XXIV.2 · Iris Goes to Priam 340
XXIV.3 · Priam Prepares 348
XXIV.4 · Hermes Guides Priam 358
XXIV.5 · Priam and Achilles 368
XXIV.6 · The Ransom and the Truce 376
XXIV.7 · The Funeral of Hector 384

BOOK XVII

XVII.1 · MENELAUS KILLS EUPHORBUS

Menelaus stands over the body of Patroclus like a cow over her first calf. Euphorbus son of Panthous, who struck Patroclus first, orders him to leave the corpse and the spoils. Menelaus tells him to withdraw and recalls how he killed his brother Hyperenor. Euphorbus strikes Menelaus' shield and the point bends; Menelaus, praying to Zeus, drives his spear through Euphorbus' throat, and he falls like an olive sapling uprooted by a storm. No Trojan dares to face Menelaus as he strips the armor.

Οὐδ' ἔλαθ' Ἀτρέος υἱόν, ἀρηΐφιλον Μενέλαον
Nor escaped of-Atreus the-son dear-to-Ares Menelaus
Πάτροκλος Τρώεσσι δαμεὶς ἐν δηϊοτῆτι.
Patroclus by-the-Trojans subdued in combat
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
he-went and through the-champions helmeted in-gleaming bronze
ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖν' ὥς τις περὶ πόρτακι μήτηρ
around and then him he-strode as some about a-calf mother
πρωτοτόκος κινυρή, οὐ πρὶν εἰδυῖα τόκοιο· 5
first-born lowing not before knowing of-birth
ὣς περὶ Πατρόκλῳ βαῖνε ξανθὸς Μενέλαος.
so about Patroclus strode fair-haired Menelaus
πρόσθε δέ οἱ δόρυ τ' ἔσχε καὶ ἀσπίδα πάντοσ' ἐΐσην,
before and him the-spear both he-held and the-shield on-all-sides balanced
τὸν κτάμεναι μεμαὼς ὅς τις τοῦ γ' ἀντίος ἔλθοι.
him to-kill eager who any him indeed against might-come

οὐδ' ἄρα Πάνθου υἱὸς ἐϋμμελίης ἀμέλησε
nor then of-Panthous the-son with-good-ash-spear neglected
Πατρόκλοιο πεσόντος ἀμύμονος· ἄγχι δ' ἄρ' αὐτοῦ
Patroclus fallen blameless near and then him
ἔστη, καὶ προσέειπεν ἀρηΐφιλον Μενέλαον·
stood and addressed dear-to-Ares Menelaus
"Ἀτρεΐδη Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν
son-of-Atreus Menelaus Zeus-nurtured leader of-the-people
χάζεο, λεῖπε δὲ νεκρόν, ἔα δ' ἔναρα βροτόεντα·
give-way leave and the-corpse let and the-spoils bloody
οὐ γάρ τις πρότερος Τρώων κλειτῶν τ' ἐπικούρων
not for any before of-the-Trojans famous and of-the-allies
Πάτροκλον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην·
Patroclus hit with-the-spear through mighty combat
τῶ με ἔα κλέος ἐσθλὸν ἐνὶ Τρώεσσιν ἀρέσθαι,
therefore me let glory good among the-Trojans to-win
μή σε βάλω, ἀπὸ δὲ μελιηδέα θυμὸν ἕλωμαι."
lest you I-hit from and honey-sweet life I-take
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος·
Him and greatly vexed addressed fair-haired Menelaus
"Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι.
Zeus father not indeed fair overweeningly to-boast
οὔτ' οὖν παρδάλιος τόσσον μένος οὔτε λέοντος
neither then of-the-leopard so-great the-might nor of-the-lion
οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιστος
nor of-the-boar wild baleful-minded whose — greatest
θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει,
heart in breast in strength exults
ὅσσον Πάνθου υἷες ἐϋμμελίαι φρονέουσιν.
as-much-as of-Panthous the-sons with-good-ash-spears intend

οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο
not-even indeed not-even the-might of-Hyperenor horse-taming
ἧς ἥβης ἀπόνηθ', ὅτε μ' ὤνατο καί μ' ὑπέμεινε
of-his youth had-joy when me he-belittled and me withstood
καί μ' ἔφατ' ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν
and me called among the-Danaans most-cowardly warrior
ἔμμεναι· οὐδέ ἑ φημι πόδεσσί γε οἷσι κιόντα
to-be nor him I-say with-feet indeed his-own going
εὐφρῆναι ἄλοχόν τε φίλην κεδνούς τε τοκῆας.
to-have-gladdened wife both dear cherished and parents
ὥς θην καὶ σὸν ἐγὼ λύσω μένος, εἴ κέ μευ ἄντα
so truly also your I will-loose might if — me against
στήῃς· ἀλλά σ' ἔγωγ' ἀναχωρήσαντα κελεύω
you-stand but you I-indeed withdrawing bid
ἐς πληθὺν ἰέναι, μηδ' ἀντίος ἵστασ' ἐμεῖο,
into the-throng to-go nor against stand me
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω."
before some evil to-suffer done and — a-fool knows
Ὣς φάτο, τὸν δ' οὐ πεῖθεν· ἀμειβόμενος δὲ προσηύδα·
So he-spoke him and not he-persuaded answering and addressed
"νῦν μὲν δή, Μενέλαε διοτρεφές, ἦ μάλα τείσεις
now indeed truly Menelaus Zeus-nurtured truly very you-will-pay
γνωτὸν ἐμόν, τὸν ἔπεφνες, ἐπευχόμενος δ' ἀγορεύεις,
for-the-brother my whom you-slew boasting and you-speak
χήρωσας δὲ γυναῖκα μυχῷ θαλάμοιο νέοιο,
you-widowed and his-wife in-the-recess of-the-chamber new
ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας.
cursed and for-the-parents lament and grief you-made
ἦ κέ σφιν δειλοῖσι γόου κατάπαυμα γενοίμην,
truly — for-them wretched of-lament a-cessation I-might-become

εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε᾽ ἐνείκας
if — I the-head both your and arms having-brought
Πάνθῳ ἐν χείρεσσι βάλω καὶ Φρόντιδι δίῃ.
of-Panthous into the-hands put and of-Phrontis noble
ἀλλ᾽ οὐ μὰν ἔτι δηρὸν ἀπείρητος πόνος ἔσται
but not indeed longer long untried the-toil will-be
οὐδ᾽ ἔτ᾽ ἀδήριτος ἢ τ᾽ ἀλκῆς ἢ τε φόβοιο."
nor still unfought either — of-courage or — of-rout
Ὣς εἰπὼν οὔτησε κατ᾽ ἀσπίδα πάντοσ᾽ ἐΐσην·
So having-spoken he-wounded on the-shield on-all-sides balanced
οὐδ᾽ ἔρρηξεν χαλκός, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ
nor broke-through bronze was-bent and its point
ἀσπίδ᾽ ἐνὶ κρατερῇ· ὁ δὲ δεύτερος ὄρνυτο χαλκῷ
shield in mighty he and second rushed with-the-bronze
Ἀτρεΐδης Μενέλαος, ἐπευξάμενος Διὶ πατρί·
son-of-Atreus Menelaus praying to-Zeus father
ἂψ δ᾽ ἀναχαζομένοιο κατὰ στομάχοιο θέμεθλα
back and him-withdrawing at of-the-throat the-base
νύξ᾽, ἐπὶ δ᾽ αὐτὸς ἔρεισε βαρείῃ χειρὶ πιθήσας·
stabbed on and himself leaned with-heavy hand trusting
ἀντικρὺ δ᾽ ἁπαλοῖο δι᾽ αὐχένος ἤλυθ᾽ ἀκωκή,
straight-through and of-the-tender through neck went the-point
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
he-thudded and falling rang and the-arms upon him
αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι
with-blood his were-wetted the-hair to-the-Graces like
πλοχμοί θ᾽, οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.
the-braids and which with-gold both and silver were-pinched

οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης
as and rears a-sapling a-man luxuriant of-olive
χώρῳ ἐν οἰοπόλῳ, ὅθ' ἅλις ἀναβέβροχεν ὕδωρ,
a-place in lonely where enough has-bubbled-up water
καλὸν τηλεθάον· τὸ δέ τε πνοιαὶ δονέουσι
fair flourishing it and — the-blasts shake
παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ·
of-all-kinds-of winds and — it-teems with-blossom white
ἐλθὼν δ' ἐξαπίνης ἄνεμος σὺν λαίλαπι πολλῇ
coming and suddenly a-wind with a-squall great
βόθρου τ' ἐξέστρεψε καὶ ἐξετάνυσσ' ἐπὶ γαίῃ·
from-the-trench and wrenched and stretched-out on the-earth
τοῖον Πάνθου υἱὸν ἐϋμμελίην Εὔφορβον
such of-Panthous the-son with-good-ash-spear Euphorbus
Ἀτρεΐδης Μενέλαος ἐπεὶ κτάνε, τεύχε' ἐσύλα.
son-of-Atreus Menelaus when he-killed the-arms stripped

Ὡς δ' ὅτε τίς τε λέων ὀρεσίτροφος, ἀλκὶ πεποιθώς,
As and when some — a-lion mountain-bred in-strength trusting
βοσκομένης ἀγέλης βοῦν ἁρπάσῃ ἥ τις ἀρίστη·
of-the-grazing herd a-cow seizes which — best
τῆς δ' ἐξ αὐχέν' ἔαξε λαβὼν κρατεροῖσιν ὀδοῦσι
of-her and out the-neck breaks seizing with-strong teeth
πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει
first then and — the-blood and the-entrails all gulps-down
δῃῶν· ἀμφὶ δὲ τόν γε κύνες τ' ἄνδρές τε νομῆες
slaying around and him indeed dogs both men and herdsmen
πολλὰ μάλ' ἰύζουσιν ἀπόπροθεν οὐδ' ἐθέλουσιν
much very shout from-afar nor wish
ἀντίον ἐλθέμεναι· μάλα γὰρ χλωρὸν δέος αἱρεῖ·
against to-come very for pale fear seizes

ὣς τῶν οὔ τινι θυμὸς ἐνὶ στήθεσσιν ἐτόλμα
so of-them not any the-heart in breast dared
ἀντίον ἐλθέμεναι Μενελάου κυδαλίμοιο.
against to-come Menelaus glorious

XVII.2 · HECTOR TAKES THE ARMOR

Apollo, in the likeness of Mentes, turns Hector from the horses of Achilles to Menelaus. Menelaus reasons that he cannot stand alone against Hector and the gods' will, and withdraws like a lion driven from a farmyard to look for Ajax. Hector strips Patroclus of Achilles' armor and drags the body to cut off its head. Ajax comes with his shield like a tower, and Hector springs back to his chariot and sends the armor to the city. Ajax stands over Patroclus like a lion over its cubs, with Menelaus beside him.

ἔνθα κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοΐδαο
then — easily would-have-carried the-famous arms of-the-son-of-Panthous
Ἀτρεΐδης, εἰ μή οἱ ἀγάσσατο Φοῖβος Ἀπόλλων,
the-son-of-Atreus if not him begrudged Phoebus Apollo
ὅς ῥά οἱ Ἕκτορ' ἐπῶρσε θοῷ ἀτάλαντον Ἄρηϊ,
who then against-him Hector roused to-swift equal Ares
ἀνέρι εἰσάμενος, Κικόνων ἡγήτορι Μέντῃ·
to-a-man likening-himself of-the-Cicones to-the-leader Mentes
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
" Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις ἀκίχητα διώκων
Hector now you indeed thus run the-unattainable pursuing
ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ' ἀλεγεινοὶ
the-horses of-the-son-of-Aeacus wise they and hard
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ' ὀχέεσθαι,
for-men indeed mortal to-be-mastered and to-be-driven

ἄλλῳ γ' ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
for-another indeed than Achilles whom an-immortal bore mother
τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱός,
meanwhile and you-know Menelaus warlike of-Atreus son
Πατρόκλῳ περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνε,
Patroclus bestriding of-the-Trojans the best has-slain
Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς."
the-son-of-Panthous Euphorbus he-stopped and from-furious courage
Ὣς εἰπὼν ὁ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν,
So having-spoken he indeed back went the-god into the-toil of-men
Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἀμφὶ μελαίνας·
Hector and dread grief covered in-wits around black
πάπτηνεν δ' ἄρ' ἔπειτα κατὰ στίχας, αὐτίκα δ' ἔγνω
he-peered and then thereafter through the-ranks at-once and he-knew
τὸν μὲν ἀπαινύμενον κλυτὰ τεύχεα, τὸν δ' ἐπὶ γαίῃ
the-one indeed stripping the-famous arms the-other and on the-earth
κείμενον· ἔρρει δ' αἷμα κατ' οὐταμένην ὠτειλήν.
lying flowed and the-blood down the-wounded wound
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
he-went and through the-champions helmeted in-gleaming bronze
ὀξέα κεκληγώς, φλογὶ εἴκελος Ἡφαίστοιο
shrilly shouting to-the-flame like of-Hephaestus
ἀσβέστῳ· οὐδ' υἱὸν λάθεν Ἀτρέος ὀξὺ βοήσας·
unquenchable nor the-son escaped of-Atreus sharply shouting
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
vexed and then he-said to his great-hearted spirit
"ὤ μοι ἐγών, εἰ μέν κε λίπω κάτα τεύχεα καλὰ
ah me I if indeed — I-leave down the-arms fair
Πάτροκλόν θ', ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς,
Patroclus and who lies my for-the-sake here honor

μή τίς μοι Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται.
lest any against-me of-the-Danaans be-indignant who — sees
εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν καὶ Τρωσὶ μάχωμαι
if but — with-Hector alone being and the-Trojans I-fight
αἰδεσθείς, μή πώς με περιστήωσ' ἕνα πολλοί·
for-shame lest somehow me they-surround one many
Τρῶας δ' ἐνθάδε πάντας ἄγει κορυθαίολος Ἕκτωρ.
the-Trojans and here all leads helmet-flashing Hector
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
but why to-me these-things dear debated heart
ὁππότ' ἀνὴρ ἐθέλῃ πρὸς δαίμονα φωτὶ μάχεσθαι
whenever a-man wishes against a-divinity with-a-man to-fight
ὅν κε θεὸς τιμᾷ, τάχα οἱ μέγα πῆμα κυλίσθη.
whom — a-god honors quickly on-him great bane rolls
τῶ μ' οὔ τις Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται
therefore me not any of-the-Danaans will-be-indignant who — sees
Ἕκτορι χωρήσαντ', ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
to-Hector giving-way since from the-gods he-fights
εἰ δέ που Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην,
if but somewhere of-Ajax indeed at-the-war-cry good I-might-learn
ἄμφω κ' αὖτις ἰόντες ἐπιμνησαίμεθα χάρμης
both — back going we-might-be-mindful of-the-fight
καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα νεκρὸν
even against a-divinity though if somehow we-might-drag the-corpse
Πηλείδῃ Ἀχιλῆϊ· κακῶν δέ κε φέρτατον εἴη."
for-the-son-of-Peleus Achilles of-evils and — the-best it-would-be
Ὣς ὁ ταῦθ' ὅρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
While he these-things pondered in mind and in heart
τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον· ἦρχε δ' ἄρ' Ἕκτωρ.
so-long and against of-the-Trojans the-ranks came led and then Hector

αὐτὰρ ὅ γ' ἐξοπίσω ἀνεχάζετο, λεῖπε δὲ νεκρόν,
but he indeed backward withdrew left and the-corpse
ἐντροπαλιζόμενος ὥς τε λὶς ἠϋγένειος,
turning-often as — a-lion well-bearded
ὅν ῥα κύνες τε καὶ ἄνδρες ἀπὸ σταθμοῖο δίωνται
whom then dogs both and men from the-steading drive
ἔγχεσι καὶ φωνῇ· τοῦ δ' ἐν φρεσὶν ἄλκιμον ἦτορ
with-spears and with-shouting his and in breast valiant heart
παχνοῦται, ἀέκων δέ τ' ἔβη ἀπὸ μεσσαύλοιο·
is-chilled unwilling and — he-goes from the-farmyard
ὣς ἀπὸ Πατρόκλοιο κίε ξανθὸς Μενέλαος.
so from Patroclus went fair-haired Menelaus
στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων,
stood and turning-about when he-reached the-band of-comrades
παπταίνων Αἴαντα μέγαν, Τελαμώνιον υἱόν.
peering for-Ajax great Telamonian son
τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης
him and very quickly he-noticed of-the-battle on the-left all
θαρσύνονθ' ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι·
cheering his-comrades and urging to-fight
θεσπέσιον γάρ σφιν φόβον ἔμβαλε Φοῖβος Ἀπόλλων·
wondrous for in-them panic cast Phoebus Apollo
βῆ δὲ θέειν, εἶθαρ δὲ παριστάμενος ἔπος ηὔδα.
he-went and to-run at-once and standing-beside word spoke
"Αἶαν, δεῦρο, πέπον, περὶ Πατρόκλοιο θανόντος
Ajax here friend for Patroclus dead
σπεύσομεν, αἴ κε νέκυν περ Ἀχιλλῆϊ προφέρωμεν
let-us-hasten if — the-corpse at-least to-Achilles we-may-bring
γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ."
naked but the indeed arms has helmet-flashing Hector

Ὣς ἔφατ', Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινε·
So he-spoke for-Ajax and wise the-heart he-stirred
βῆ δὲ διὰ προμάχων, ἅμα δὲ ξανθὸς Μενέλαος.
he-went and through the-champions with and fair-haired Menelaus
Ἕκτωρ μὲν Πάτροκλον ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα,
Hector indeed Patroclus when the-famous arms he-had-stripped
ἕλχ', ἵν' ἀπ' ὤμοιιν κεφαλὴν τάμοι ὀξέϊ χαλκῷ,
dragged that from the-shoulders the-head he-might-cut with-sharp bronze
τὸν δὲ νέκυν Τρωῇσιν ἐρυσσάμενος κυσὶ δοίη.
the and corpse to-the-Trojan dragging to-the-dogs might-give
Αἴας δ' ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον·
Ajax and near came carrying a-shield like a-tower
Ἕκτωρ δ' ἂψ ἐς ὅμιλον ἰὼν ἀνεχάζεθ' ἑταίρων,
Hector and back into the-throng going withdrew of-his-comrades
ἐς δίφρον δ' ἀνόρουσε· δίδου δ' ὅ γε τεύχεα καλὰ
into the-chariot and he-leapt gave and he indeed the-arms fair
Τρωσὶ φέρειν προτὶ ἄστυ, μέγα κλέος ἔμμεναι αὐτῷ.
to-the-Trojans to-carry to the-town great glory to-be for-himself
Αἴας δ' ἀμφὶ Μενοιτιάδῃ σάκος εὐρὺ καλύψας
Ajax and around the-son-of-Menoetius shield broad covering
ἑστήκει ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν,
stood as some — a-lion around his young
ᾧ ῥά τε νήπι' ἄγοντι συναντήσωνται ἐν ὕλῃ
whom then — little leading meet in the-forest
ἄνδρες ἐπακτῆρες· ὁ δέ τε σθένεϊ βλεμεαίνει,
men hunters he and — in-strength exults
πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων·
all and — the-brow down is-drawn the-eyes covering
ὣς Αἴας περὶ Πατρόκλῳ ἥρωϊ βεβήκει.
so Ajax about Patroclus hero strode

Ἀτρεΐδης δ' ἑτέρωθεν, ἀρηΐφιλος Μενέλαος,
the-son-of-Atreus and on-the-other-side dear-to-Ares Menelaus
ἑστήκει, μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων.
stood great grief in breast increasing

XVII.3 · HECTOR PUTS ON THE ARMOR

Glaucus rebukes Hector for shrinking from Ajax and abandoning Sarpedon. The Lycians will go home, he says, and with Patroclus' body in Troy the Trojans could win back Sarpedon's arms. Hector answers that the mind of Zeus is stronger than any man, and bids Glaucus watch him fight. He puts on Achilles' armor. Zeus pities him, since Andromache will never receive it from him, and gives him strength. Hector promises the allies half the spoils for whoever drags Patroclus to the Trojans.

Γλαῦκος δ' Ἱππολόχοιο πάϊς, Λυκίων ἀγὸς ἀνδρῶν,
Glaucus and of-Hippolochus son of-the-Lycians leader of-men
Ἕκτορ' ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
Hector from-under looking with-harsh rebuked word
" Ἕκτορ, εἶδος ἄριστε, μάχης ἄρα πολλὸν ἐδεύεο.
Hector in-looks best in-battle then much you-fell-short
ἦ σ' αὔτως κλέος ἐσθλὸν ἔχει φύξηλιν ἐόντα.
truly you idly fame good holds a-runaway being
φράζεο νῦν ὅππως κε πόλιν καὶ ἄστυ σαώσῃς
consider now how — the-city and town you-may-save
οἷος σὺν λαοῖς τοὶ Ἰλίῳ ἐγγεγάασιν·
alone with the-hosts who in-Ilium are-born

οὐ γάρ τις Λυκίων γε μαχησόμενος Δαναοῖσιν
not for any of-the-Lycians indeed to-fight with-the-Danaans
εἶσι περὶ πτόλιος, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
will-go for the-city since not then any thanks was
μάρνασθαι δηΐοισιν ἐπ᾽ ἀνδράσι νωλεμὲς αἰεί.
to-fight hostile against men unceasingly always
πῶς κε σὺ χείρονα φῶτα σαώσειας μεθ᾽ ὅμιλον,
how — you a-worse man might-save in the-throng
σχέτλι᾽, ἐπεὶ Σαρπηδόν᾽ ἅμα ξεῖνον καὶ ἑταῖρον
cruel since Sarpedon at-once guest and comrade
κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι,
you-left to-the-Argives a-prey and spoil to-become
ὅς τοι πόλλ᾽ ὄφελος γένετο, πτόλεΐ τε καὶ αὐτῷ,
who to-you much help became to-the-city both and yourself
ζωὸς ἐών· νῦν δ᾽ οὔ οἱ ἀλαλκέμεναι κύνας ἔτλης.
alive being now but not from-him to-ward-off the-dogs did-you-dare
τῷ νῦν εἴ τις ἐμοὶ Λυκίων ἐπιπείσεται ἀνδρῶν
therefore now if any me of-the-Lycians will-obey of-the-men
οἴκαδ᾽ ἴμεν, Τροίῃ δὲ πεφήσεται αἰπὺς ὄλεθρος.
homeward to-go for-Troy and will-be-shown sheer destruction
εἰ γὰρ νῦν Τρώεσσι μένος πολυθαρσὲς ἐνείη,
if for now in-the-Trojans might all-daring were-in
ἄτρομον, οἷόν τ᾽ ἄνδρας ἐσέρχεται οἳ περὶ πάτρης
fearless such-as — men enters who for fatherland
ἀνδράσι δυσμενέεσσι πόνον καὶ δῆριν ἔθεντο,
with-men hostile toil and strife have-set
αἶψά κε Πάτροκλον ἐρυσαίμεθα Ἴλιον εἴσω.
at-once — Patroclus we-would-drag Ilium into

εἰ δ' οὗτος προτὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος
if but this-one to the-town great of-Priam lord
ἔλθοι τεθνηὼς καί μιν ἐρυσαίμεθα χάρμης,
should-come dead and him we-should-drag from-the-fight
αἶψά κεν Ἀργεῖοι Σαρπηδόνος ἔντεα καλὰ
at-once — the-Argives of-Sarpedon the-arms fair
λύσειαν, καί κ' αὐτὸν ἀγοίμεθα Ἴλιον εἴσω·
would-release and — himself we-would-bring Ilium into
τοίου γὰρ θεράπων πέφατ' ἀνέρος, ὃς μέγ' ἄριστος
of-such-a for attendant has-been-slain man who far best
Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες.
of-the-Argives by the-ships and close-fighting attendants
ἀλλὰ σύ γ' Αἴαντος μεγαλήτορος οὐκ ἐτάλασσας
but you indeed Ajax great-hearted not dared
στήμεναι ἄντα κατ' ὄσσε ἰδὼν δηΐων ἐν ἀϋτῇ,
to-stand against into eyes looking of-the-foes in the-war-cry
οὐδ' ἰθὺς μαχέσασθαι, ἐπεὶ σέο φέρτερός ἐστι."
nor straight to-fight since than-you stronger he-is
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος Ἕκτωρ·
Him and then from-under looking addressed helmet-flashing Hector
"Γλαῦκε, τίη δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπες;
Glaucus why and you such being overbearingly have-spoken
ὦ πόποι, ἦ τ' ἐφάμην σὲ περὶ φρένας ἔμμεναι ἄλλων,
oh for-shame truly — I-thought you beyond in-wits to-be others
τῶν ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσι·
of-those as-many-as Lycia deep-soiled inhabit
νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες,
now but of-you I-fault altogether the-wits such-a-thing you-said
ὅς τέ με φῂς Αἴαντα πελώριον οὐχ ὑπομεῖναι.
who — me you-say Ajax monstrous not to-withstand

οὔ τοι ἐγὼν ἔρριγα μάχην οὐδὲ κτύπον ἵππων·
not you-know I shudder-at battle nor the-din of-horses
ἀλλ᾽ αἰεί τε Διὸς κρείσσων νόος αἰγιόχοιο,
but always — of-Zeus stronger the-mind aegis-bearing
ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην
who — even valiant man routs and has-taken-away victory
ῥηϊδίως, ὅτὲ δ᾽ αὐτὸς ἐποτρύνει μαχέσασθαι.
easily at-times and himself urges to-fight
ἀλλ᾽ ἄγε δεῦρο, πέπον, παρ᾽ ἔμ᾽ ἵστασο καὶ ἴδε ἔργον,
but come here friend by me stand and see the-work
ἠὲ πανημέριος κακὸς ἔσσομαι, ὡς ἀγορεύεις,
whether all-day a-coward I-shall-be as you-say
ἦ τινα καὶ Δαναῶν ἀλκῆς μάλα περ μεμαῶτα
or some even of-the-Danaans of-courage very though eager
σχήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντος."
I-shall-stop to-defend about Patroclus dead
Ὣς εἰπὼν Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
So having-spoken to-the-Trojans he-called loudly shouting
"Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
Trojans and Lycians and Dardanians close-fighters
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
men be friends be-mindful and of-furious courage
ὄφρ᾽ ἂν ἐγὼν Ἀχιλῆος ἀμύμονος ἔντεα δύω
while — I of-Achilles blameless the-arms put-on
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξα κατακτάς."
fair which of-Patroclus the-might I-stripped having-killed

Ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ
So then having-spoken departed helmet-flashing Hector
δηΐου ἐκ πολέμοιο· θέων δ' ἐκίχανεν ἑταίρους
consuming from war running and he-overtook his-comrades
ὦκα μάλ', οὔ πω τῆλε, ποσὶ κραιπνοῖσι μετασπών,
quickly very not yet far with-feet swift following
οἳ προτὶ ἄστυ φέρον κλυτὰ τεύχεα Πηλεΐωνος.
who to the-town carried the-famous arms of-the-son-of-Peleus
στὰς δ' ἀπάνευθε μάχης πολυδακρύου ἔντε' ἄμειβεν·
standing and apart from-the-battle tearful the-arms he-exchanged
ἤτοι ὁ μὲν τὰ ἃ δῶκε φέρειν προτὶ Ἴλιον ἱρὴν
truly he indeed the his gave to-carry to Ilium sacred
Τρωσὶ φιλοπτολέμοισιν, ὁ δ' ἄμβροτα τεύχεα δῦνε
to-the-Trojans war-loving he and immortal arms put-on
Πηλεΐδεω Ἀχιλῆος, ἅ οἱ θεοὶ Οὐρανίωνες
of-the-son-of-Peleus Achilles which to-him the-gods heavenly
πατρὶ φίλῳ ἔπορον· ὁ δ' ἄρα ᾧ παιδὶ ὄπασσε
to-father dear gave he and then to-his son gave(-them)
γηράς· ἀλλ' οὐχ υἱὸς ἐν ἔντεσι πατρὸς ἐγήρα.
grown-old but not the-son in the-arms of-the-father grew-old
Τὸν δ' ὡς οὖν ἀπάνευθεν ἴδεν νεφεληγερέτα Ζεὺς
Him and when then apart saw cloud-gatherer Zeus
τεύχεσι Πηλεΐδαο κορυσσόμενον θείοιο,
in-the-arms of-the-son-of-Peleus arming godlike
κινήσας ῥα κάρη προτὶ ὃν μυθήσατο θυμόν·
shaking then his-head to his spoke heart
"ἆ δείλ', οὐδέ τί τοι θάνατος καταθύμιός ἐστιν,
ah wretch nor at-all to-you death in-mind is

ὃς δή τοι σχεδὸν εἶσι· σὺ δ' ἄμβροτα τεύχεα δύνεις
which indeed you near comes you and immortal arms put-on
ἀνδρὸς ἀριστῆος, τόν τε τρομέουσι καὶ ἄλλοι·
of-a-man best whom — tremble-at also others
τοῦ δὴ ἑταῖρον ἔπεφνες ἐνηέα τε κρατερόν τε,
of-him indeed the-comrade you-slew gentle both strong and
τεύχεα δ' οὐ κατὰ κόσμον ἀπὸ κρατός τε καὶ ὤμων
the-arms and not in order from the-head both and shoulders
εἵλευ· ἀτάρ τοι νῦν γε μέγα κράτος ἐγγυαλίξω,
you-took but to-you now indeed great power I-will-grant
τῶν ποινὴν ὅ τοι οὔ τι μάχης ἒκ νοστήσαντι
for-these a-recompense that you not at-all from-battle out having-returned
δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα Πηλεΐωνος."
will-receive Andromache the-famous arms of-the-son-of-Peleus
Ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.
He-spoke and with-dark on brows nodded the-son-of-Cronus
Ἕκτορι δ' ἥρμοσε τεύχε' ἐπὶ χροΐ, δῦ δέ μιν Ἄρης
to-Hector and he-fitted the-arms on the-flesh entered and him Ares
δεινὸς ἐνυάλιος, πλῆσθεν δ' ἄρα οἱ μέλε' ἐντὸς
dread warlike were-filled and then his limbs within
ἀλκῆς καὶ σθένεος· μετὰ δὲ κλειτοὺς ἐπικούρους
with-courage and strength among and the-famous allies
βῆ ῥα μέγα ἰάχων· ἰνδάλλετο δέ σφισι πᾶσι
went then greatly shouting he-appeared and to-them all
τεύχεσι λαμπόμενος μεγαθύμου Πηλεΐωνος.
in-the-arms shining of-the-great-hearted son-of-Peleus
ὄτρυνεν δὲ ἕκαστον ἐποιχόμενος ἐπέεσσι,
he-urged and each going-among with-words
Μέσθλην τε Γλαῦκόν τε Μέδοντά τε Θερσίλοχόν τε,
Mesthles both Glaucus and Medon and Thersilochus and

Ἀστεροπαῖόν τε Δεισήνορά θ' Ἱππόθοόν τε,
Asteropaeus both Deisenor and Hippothous and
Φόρκυν τε Χρομίον τε καὶ Ἔννομον οἰωνιστήν·
Phorcys and Chromius both and Ennomus the-augur
τοὺς ὅ γ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
them he indeed urging words winged addressed
"κέκλυτε, μυρία φῦλα περικτιόνων ἐπικούρων·
hear countless tribes of-the-dwellers-around allies
οὐ γὰρ ἐγὼ πληθὺν διζήμενος οὐδὲ χατίζων
not for I a-multitude seeking nor needing
ἐνθάδ' ἀφ' ὑμετέρων πολίων ἤγειρα ἕκαστον,
here from your cities gathered each
ἀλλ' ἵνα μοι Τρώων ἀλόχους καὶ νήπια τέκνα
but that for-me of-the-Trojans the-wives and little children
προφρονέως ῥύοισθε φιλοπτολέμων ὑπ' Ἀχαιῶν.
readily you-might-protect the-war-loving from Achaeans
τὰ φρονέων δώροισι κατατρύχω καὶ ἐδωδῇ
this intending with-gifts I-wear-out and with-food
λαούς, ὑμέτερον δὲ ἑκάστου θυμὸν ἀέξω.
the-hosts your and of-each the-heart I-increase
τῷ τις νῦν ἰθὺς τετραμμένος ἢ ἀπολέσθω
therefore any now straight turned either let-him-perish
ἠὲ σαωθήτω· ἡ γὰρ πολέμου ὀαριστύς.
or let-him-be-saved this for of-war the-dalliance
ὃς δέ κε Πάτροκλον καὶ τεθνηῶτά περ ἔμπης
whoever and — Patroclus even dead though nevertheless
Τρῶας ἐς ἱπποδάμους ἐρύσῃ, εἴξῃ δέ οἱ Αἴας,
the-Trojans to horse-taming drags yields and to-him Ajax

ἥμισυ τῷ ἐνάρων ἀποδάσσομαι, ἥμισυ δ' αὐτὸς
half to-him of-the-spoils I-will-give half and myself
ἕξω ἐγώ· τὸ δέ οἱ κλέος ἔσσεται ὅσσον ἐμοί περ."
will-have I — and to-him glory will-be as-much-as to-me indeed

XVII.4 · THE FIGHT OVER THE BODY

The Trojans charge in a mass. Ajax, fearing less for the corpse than for his own and Menelaus' heads, tells Menelaus to call the chiefs; the lesser Ajax, Idomeneus, Meriones, and others come. Zeus pours mist about the Achaeans. The Trojans thrust them back, but Ajax rallies them like a boar. Hippothous drags Patroclus by the ankle with his shield strap until Ajax kills him. Hector throws at Ajax and kills Schedius; Ajax kills Phorcys, Hector gives way, and the Argives strip the dead.

Ὣς ἔφαθ', οἱ δ' ἰθὺς Δαναῶν βρίσαντες ἔβησαν
So he-spoke they and straight at-the-Danaans pressing-hard went
δούρατ' ἀνασχόμενοι· μάλα δέ σφισιν ἔλπετο θυμὸς
spears holding-up greatly and for-them hoped the-heart
νεκρὸν ὑπ' Αἴαντος ἐρύειν Τελαμωνιάδαο,
the-corpse from Ajax to-drag son-of-Telamon
νήπιοι· ἦ τε πολέσσιν ἐπ' αὐτῷ θυμὸν ἀπηύρα.
fools truly — of-many over him the-life he-took
καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
and then then Ajax said at-the-war-cry good Menelaus
"ὦ πέπον, ὦ Μενέλαε διοτρεφές, οὐκέτι νῶϊ
O friend O Menelaus Zeus-nurtured no-longer we-two
ἔλπομαι αὐτώ περ νοστησέμεν ἐκ πολέμοιο.
I-think ourselves indeed to-return from war
οὔ τι τόσον νέκυος περιδείδια Πατρόκλοιο,
not at-all so-much for-the-corpse I-fear of-Patroclus

ὅς κε τάχα Τρώων κορέει κύνας ἠδ' οἰωνούς,
which — soon of-the-Trojans will-glut the-dogs and birds
ὅσσον ἐμῇ κεφαλῇ περιδείδια, μή τι πάθῃσι,
as-much-as for-my head I-fear lest something it-suffer
καὶ σῇ, ἐπεὶ πολέμοιο νέφος περὶ πάντα καλύπτει
and your since of-war the-cloud around all covers
Ἕκτωρ, ἡμῖν δ' αὖτ' ἀναφαίνεται αἰπὺς ὄλεθρος.
Hector for-us and in-turn is-revealed sheer destruction
ἀλλ' ἄγ' ἀριστῆας Δαναῶν κάλει, ἤν τις ἀκούσῃ."
but come the-best of-the-Danaans call if any hears
Ὣς ἔφατ', οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος,
So he-spoke nor disobeyed at-the-war-cry good Menelaus
ἤϋσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
he-shouted and piercingly to-the-Danaans calling
"ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες
O friends of-the-Argives leaders and rulers
οἵ τε παρ' Ἀτρεΐδῃς, Ἀγαμέμνονι καὶ Μενελάῳ
who — beside the-sons-of-Atreus Agamemnon and Menelaus
δήμια πίνουσιν καὶ σημαίνουσιν ἕκαστος
at-the-public-cost drink and give-orders each
λαοῖς· ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ.
to-the-hosts from and Zeus honor and glory attends
ἀργαλέον δέ μοί ἐστι διασκοπιᾶσθαι ἕκαστον
hard and for-me it-is to-discern each
ἡγεμόνων· τόσση γὰρ ἔρις πολέμοιο δέδηεν·
of-the-leaders so-great for the-strife of-war has-blazed
ἀλλά τις αὐτὸς ἴτω, νεμεσιζέσθω δ' ἐνὶ θυμῷ
but some himself let-him-come let-him-be-indignant and in heart
Πάτροκλον Τρῳῇσι κυσὶν μέλπηθρα γενέσθαι."
Patroclus for-the-Trojan dogs a-plaything to-become

Ὣς ἔφατ', ὀξὺ δ' ἄκουσεν Ὀϊλῆος ταχὺς Αἴας·
So he-spoke sharply and heard of-Oïleus swift Ajax
πρῶτος δ' ἀντίος ἦλθε θέων ἀνὰ δηϊοτῆτα,
first and facing he-came running through the-combat
τὸν δὲ μετ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος,
him and after Idomeneus and the-comrade of-Idomeneus
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ.
Meriones equal to-Enyalius man-slaying
τῶν δ' ἄλλων τίς κεν ᾗσι φρεσὶν οὐνόματ' εἴποι,
of-the and others who — in-his wits the-names could-tell
ὅσσοι δὴ μετόπισθε μάχην ἤγειραν Ἀχαιῶν;
as-many-as indeed after the-battle roused of-the-Achaeans
Τρῶες δὲ προὔτυψαν ἀολλέες· ἦρχε δ' ἄρ' Ἕκτωρ.
the-Trojans and struck-forward thronging led and then Hector
ὡς δ' ὅτ' ἐπὶ προχοῇσι διιπετέος ποταμοῖο
as and when at the-mouths of-a-Zeus-fed river
βέβρυχεν μέγα κῦμα ποτὶ ῥόον, ἀμφὶ δέ τ' ἄκραι
roars great a-wave against the-stream around and — the-headlands
ἠϊόνες βοόωσιν ἐρευγομένης ἁλὸς ἔξω,
the-shores resound belching the-sea outward
τόσσῃ ἄρα Τρῶες ἰαχῇ ἴσαν. αὐτὰρ Ἀχαιοὶ
with-so-great then the-Trojans clamor came but the-Achaeans
ἕστασαν ἀμφὶ Μενοιτιάδῃ ἕνα θυμὸν ἔχοντες,
stood around the-son-of-Menoetius one spirit having
φραχθέντες σάκεσιν χαλκήρεσιν· ἀμφὶ δ' ἄρα σφι
fenced with-shields bronze-fitted around and then them
λαμπρῇσιν κορύθεσσι Κρονίων ἠέρα πολλὴν
the-bright helmets the-son-of-Cronus mist much
χεῦ', ἐπεὶ οὐδὲ Μενοιτιάδην ἤχθαιρε πάρος γε,
poured since not-even the-son-of-Menoetius he-hated before indeed

ὄφρα ζωὸς ἐὼν θεράπων ἦν Αἰακίδαο·
while alive being the-attendant he-was of-the-son-of-Aeacus
μίσησεν δ' ἄρα μιν δηΐων κυσὶ κύρμα γενέσθαι
he-loathed and then him of-the-foes for-the-dogs a-spoil to-become
Τρωῇσιν· τῶ καί οἱ ἀμυνέμεν ὦρσεν ἑταίρους.
the-Trojan therefore also him to-defend he-roused comrades
Ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·
Thrust and first the-Trojans bright-eyed Achaeans
νεκρὸν δὲ προλιπόντες ὑπέτρεσαν, οὐδέ τιν' αὐτῶν
the-corpse and leaving shrank-back nor any of-them
Τρῶες ὑπέρθυμοι ἔλον ἔγχεσιν ἱέμενοί περ,
the-Trojans high-spirited took with-spears eager though
ἀλλὰ νέκυν ἐρύοντο· μίννυθα δὲ καὶ τοῦ Ἀχαιοὶ
but the-corpse they-dragged briefly and even from-it the-Achaeans
μέλλον ἀπέσσεσθαι· μάλα γάρ σφεας ὦκ' ἐλέλιξεν
were-to be-away very for them quickly rallied
Αἴας, ὃς περὶ μὲν εἶδος, περὶ δ' ἔργα τέτυκτο
Ajax who beyond indeed form beyond and deeds was
τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλεΐωνα.
of-the others Danaans after the-blameless son-of-Peleus
ἴθυσεν δὲ διὰ προμάχων συὶ εἴκελος ἀλκὴν
he-charged-straight and through the-champions to-a-boar like in-valor
καπρίῳ, ὅς τ' ἐν ὄρεσσι κύνας θαλερούς τ' αἰζηοὺς
wild who — in mountains dogs lusty and young-men
ῥηϊδίως ἐκέδασσεν, ἑλιξάμενος διὰ βήσσας·
easily scatters turning through the-glens
ὣς υἱὸς Τελαμῶνος ἀγαυοῦ, φαίδιμος Αἴας,
so the-son of-Telamon lordly glorious Ajax
ῥεῖα μετεισάμενος Τρώων ἐκέδασσε φάλαγγας,
easily going-among of-the-Trojans scattered the-battalions

οἳ περὶ Πατρόκλῳ βέβασαν, φρόνεον δὲ μάλιστα
who about Patroclus had-stood intended and most
ἄστυ πότι σφέτερον ἐρύειν καὶ κῦδος ἀρέσθαι.
the-town to their to-drag and glory to-win
Ἤτοι τὸν Λήθοιο Πελασγοῦ φαίδιμος υἱός,
Truly him of-Lethus Pelasgian glorious son
Ἱππόθοος, ποδὸς ἕλκε κατὰ κρατερὴν ὑσμίνην,
Hippothous by-the-foot dragged through mighty combat
δησάμενος τελαμῶνι παρὰ σφυρὸν ἀμφὶ τένοντας,
binding with-a-strap at the-ankle around the-tendons
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ
to-Hector and the-Trojans showing-favor soon and to-him
ἦλθε κακόν, τό οἱ οὔ τις ἐρύκακεν ἱεμένων περ.
came evil which him not any warded-off eager though
τὸν δ' υἱὸς Τελαμῶνος ἐπαΐξας δι' ὁμίλου
him and the-son of-Telamon darting through the-throng
πλῆξ' αὐτοσχεδίην κυνέης διὰ χαλκοπαρῄου·
struck at-close-quarters the-helmet through bronze-cheeked
ἤρικε δ' ἱπποδάσεια κόρυς περὶ δουρὸς ἀκωκῇ
was-split and the-horsehair-crested helmet around of-the-spear by-the-point
πληγεῖσ' ἔγχεί τε μεγάλῳ καὶ χειρὶ παχείῃ,
struck with-spear both great and hand stout
ἐγκέφαλος δὲ παρ' αὐλὸν ἀνέδραμεν ἐξ ὠτειλῆς
the-brain and by the-socket spurted-up from the-wound
αἱματόεις· τοῦ δ' αὖθι λύθη μένος, ἐκ δ' ἄρα χειρῶν
bloody of-him and there was-loosed the-might from and then the-hands
Πατρόκλοιο πόδα μεγαλήτορος ἧκε χαμᾶζε
of-Patroclus the-foot great-hearted he-let-go to-the-ground
κεῖσθαι· ὁ δ' ἄγχ' αὐτοῖο πέσε πρηνὴς ἐπὶ νεκρῷ,
to-lie he and near him fell headlong on the-corpse

τῆλ᾽ ἀπὸ Λαρίσης ἐριβώλακος, οὐδὲ τοκεῦσι
far from Larisa deep-soiled nor to-his-parents
θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰὼν
the-nurture dear repaid short-lived and his life
ἕπλεθ᾽ ὑπ᾽ Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
was under Ajax great-hearted by-the-spear subdued
Ἕκτωρ δ᾽ αὖτ᾽ Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ·
Hector and in-turn at-Ajax threw with-spear shining
ἀλλ᾽ ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
but he indeed facing seeing avoided the-bronze spear
τυτθόν· ὁ δὲ Σχεδίον, μεγαθύμου Ἰφίτου υἱόν,
narrowly he and Schedius of-great-hearted Iphitus son
Φωκήων ὄχ᾽ ἄριστον, ὃς ἐν κλειτῷ Πανοπῆϊ
of-the-Phocians far the-best who in famous Panopeus
οἰκία ναιετάασκε πολέσσ᾽ ἄνδρεσσιν ἀνάσσων,
homes dwelt over-many men ruling
τὸν βάλ᾽ ὑπὸ κληῖδα μέσην· διὰ δ᾽ ἀμπερὲς ἄκρη
him he-hit under the-collarbone middle through and right-through the-tip
αἰχμὴ χαλκείη παρὰ νείατον ὦμον ἀνέσχε·
point bronze by the-lowest shoulder came-out
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
he-thudded and falling rang and the-arms upon him
Αἴας δ᾽ αὖ Φόρκυνα, δαΐφρονα Φαίνοπος υἱόν,
Ajax and in-turn Phorcys wise of-Phaenops son
Ἱπποθόῳ περιβάντα μέσην κατὰ γαστέρα τύψε·
Hippothous bestriding middle in the-belly struck
ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ᾽ ἔντερα χαλκὸς
broke and of-the-corselet the-plate through and the-entrails bronze
ἤφυσ᾽· ὁ δ᾽ ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
drained he and in the-dust falling clutched the-earth with-the-palm

χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ·
gave-way and back both the-champions and glorious Hector
Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύσαντο δὲ νεκρούς,
the-Argives and loudly shouted dragged and the-corpses
Φόρκυν θ' Ἱππόθοόν τε, λύοντο δὲ τεύχε' ἀπ' ὤμων.
Phorcys both Hippothous and loosed and the-arms from shoulders

XVII.5 · AENEAS RALLIES THE TROJANS

Apollo, as the herald Periphas, rouses Aeneas, who turns Hector and the allies. Aeneas kills Leocritus, Lycomedes kills Apisaon, and Asteropaeus charges, but the Achaeans lock shields about the body. The fight lasts all day. Both sides haul at the body like men stretching a hide, and Achilles still does not know that Patroclus has died.

Ἔνθα κεν αὖτε Τρῶες ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
Then — in-turn the-Trojans dear-to-Ares by Achaeans
Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι δαμέντες,
Ilium would-have-gone-up-into by-cowardice subdued
Ἀργεῖοι δέ κε κῦδος ἔλον καὶ ὑπὲρ Διὸς αἶσαν
the-Argives and — glory would-have-taken even beyond Zeus' destiny
κάρτεϊ καὶ σθένεϊ σφετέρῳ· ἀλλ' αὐτὸς Ἀπόλλων
by-might and strength their-own but himself Apollo
Αἰνείαν ὄτρυνε, δέμας Περίφαντι ἐοικώς,
Aeneas roused in-form to-Periphas like
κήρυκι Ἠπυτίδῃ, ὅς οἱ παρὰ πατρὶ γέροντι
the-herald son-of-Epytus who to-him beside father old
κηρύσσων γήρασκε, φίλα φρεσὶ μήδεα εἰδώς·
heralding grew-old kindly in-mind counsels knowing
τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
to-him him likening addressed of-Zeus son Apollo

“Αἰνεία, πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε
Aeneas how — even beyond a-god could-you-protect
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
Ilium steep as indeed I-have-seen men other
κάρτεΐ τε σθένεΐ τε πεποιθότας ἠνορέῃ τε
in-might both strength and trusting manhood and
πλήθεΐ τε σφετέρῳ καὶ ὑπερδέα δῆμον ἔχοντας· 330
in-number and their-own and dauntless people having
ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσι
for-us and Zeus indeed much wishes than for-the-Danaans
νίκην· ἀλλ’ αὐτοὶ τρεῖτ’ ἄσπετον οὐδὲ μάχεσθε.”
victory but yourselves tremble unspeakably nor fight
Ὣς ἔφατ’, Αἰνείας δ’ ἑκατηβόλον Ἀπόλλωνα
So he-spoke Aeneas and far-shooting Apollo
ἔγνω ἐσάντα ἰδών, μέγα δ’ Ἕκτορα εἶπε βοήσας·
knew face-to-face looking greatly and to-Hector said shouting
“ Ἕκτόρ τ’ ἠδ’ ἄλλοι Τρώων ἀγοὶ ἠδ’ ἐπικούρων, 335
Hector and and others of-the-Trojans leaders and of-the-allies
αἰδὼς μὲν νῦν ἥδε γ’ ἀρηϊφίλων ὑπ’ Ἀχαιῶν
shame indeed now this indeed dear-to-Ares by Achaeans
Ἴλιον εἰσαναβῆναι ἀναλκείῃσι δαμέντας.
Ilium to-go-up-into by-cowardice subdued
ἀλλ’ ἔτι γάρ τίς φησι θεῶν ἐμοὶ ἄγχι παραστὰς
but still for some says of-the-gods to-me near standing
Ζῆν’ ὕπατον μήστωρα μάχης ἐπιτάρροθον εἶναι·
Zeus highest deviser of-battle helper to-be
τῶ ῥ’ ἰθὺς Δαναῶν ἴομεν, μηδ’ οἵ γε ἔκηλοι 340
therefore then straight at-the-Danaans let-us-go nor they indeed at-ease
Πάτροκλον νηυσὶν πελασαίατο τεθνηῶτα.”
Patroclus to-the-ships may-bring dead

Ὣς φάτο, καί ῥα πολὺ προμάχων ἐξάλμενος ἔστη·
So he-spoke and then far from-the-champions leaping-forth stood
οἱ δ' ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν.
they and rallied and facing stood the-Achaeans
ἔνθ' αὖτ' Αἰνείας Λειώκριτον οὔτασε δουρί,
then in-turn Aeneas Leocritus wounded with-the-spear
υἱὸν Ἀρίσβαντος, Λυκομήδεος ἐσθλὸν ἑταῖρον.
the-son of-Arisbas of-Lycomedes brave comrade
τὸν δὲ πεσόντ' ἐλέησεν ἀρηΐφιλος Λυκομήδης,
him and fallen pitied dear-to-Ares Lycomedes
στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
stood and very near going and threw with-spear shining
καὶ βάλεν Ἱππασίδην Ἀπισάονα, ποιμένα λαῶν,
and hit son-of-Hippasus Apisaon shepherd of-the-people
ἦπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσεν,
the-liver under the-midriff at-once and under knees loosed
ὅς ῥ' ἐκ Παιονίης ἐριβώλακος εἰληλούθει,
who then from Paeonia deep-soiled had-come
καὶ δὲ μετ' Ἀστεροπαῖον ἀριστεύεσκε μάχεσθαι.
and also after Asteropaeus was-best to-fight
Τὸν δὲ πεσόντ' ἐλέησεν ἀρήϊος Ἀστεροπαῖος,
Him and fallen pitied warlike Asteropaeus
ἴθυσεν δὲ καὶ ὁ πρόφρων Δαναοῖσι μάχεσθαι·
charged-straight and also he readily with-the-Danaans to-fight
ἀλλ' οὔ πως ἔτι εἶχε· σάκεσσι γὰρ ἔρχατο πάντῃ
but not at-all longer he-could with-shields for they-were-fenced everywhere
ἑσταότες περὶ Πατρόκλῳ, πρὸ δὲ δούρατ' ἔχοντο.
standing around Patroclus before and spears they-held
Αἴας γὰρ μάλα πάντας ἐπῴχετο πολλὰ κελεύων·
Ajax for very all went-among much bidding

οὔτε τιν᾽ ἐξοπίσω νεκροῦ χάζεσθαι ἀνώγει
neither any backward from-the-corpse to-give-way bade
οὔτε τινα προμάχεσθαι Ἀχαιῶν ἔξοχον ἄλλων,
nor any to-fight-in-front of-the-Achaeans beyond others
ἀλλὰ μάλ᾽ ἀμφ᾽ αὐτῷ βεβάμεν, σχεδόθεν δὲ μάχεσθαι.
but very around him to-stand near and to-fight
ὣς Αἴας ἐπέτελλε πελώριος, αἵματι δὲ χθὼν
so Ajax enjoined huge with-blood and the-earth
δεύετο πορφυρέῳ, τοὶ δ᾽ ἀγχιστῖνοι ἔπιπτον
was-wetted purple they and close-together fell
νεκροὶ ὁμοῦ Τρώων καὶ ὑπερμενέων ἐπικούρων
corpses together of-the-Trojans and of-the-mighty allies
καὶ Δαναῶν· οὐδ᾽ οἳ γὰρ ἀναιμωτί γε μάχοντο,
and of-the-Danaans not-even they for bloodlessly indeed fought
παυρότεροι δὲ πολὺ φθίνυθον· μέμνητο γὰρ αἰεὶ
fewer but far perished they-remembered for always
ἀλλήλοις ἀν᾽ ὅμιλον ἀλεξέμεναι φόνον αἰπύν.
each-other through the-throng to-ward-off slaughter sheer
Ὣς οἱ μὲν μάρναντο δέμας πυρός, οὐδέ κε φαίης
So they indeed fought in-the-likeness of-fire nor — would-you-say
οὔτε ποτ᾽ ἠέλιον σῶν ἔμμεναι οὔτε σελήνην·
neither ever the-sun safe to-be nor the-moon
ἠέρι γὰρ κατέχοντο μάχης ἐπί θ᾽ ὅσσον ἄριστοι
in-mist for they-were-held of-the-battle on and as-much-as best
ἔστασαν ἀμφὶ Μενοιτιάδῃ κατατεθνηῶτι.
stood around the-son-of-Menoetius dead

οἱ δ' ἄλλοι Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοὶ
the and other Trojans and well-greaved Achaeans
εὖκηλοι πολέμιζον ὑπ' αἰθέρι, πέπτατο δ' αὐγὴ
at-ease fought under the-clear-sky was-spread and the-gleam
ἠελίου ὀξεῖα, νέφος δ' οὐ φαίνετο πάσης
of-the-sun sharp a-cloud and not appeared of-all
γαίης οὐδ' ὀρέων· μεταπαυόμενοι δὲ μάχοντο
the-earth nor of-the-mountains pausing and they-fought
ἀλλήλων ἀλεείνοντες βέλεα στονόεντα,
each-other avoiding missiles grievous
πολλὸν ἀφεσταότες. τοὶ δ' ἐν μέσῳ ἄλγε' ἔπασχον
far standing-apart they and in the-middle pains suffered
ἠέρι καὶ πολέμῳ, τείροντο δὲ νηλεῖ χαλκῷ
by-mist and war were-worn-out and by-pitiless bronze
ὅσσοι ἄριστοι ἔσαν· δύο δ' οὔ πω φῶτε πεπύσθην,
as-many-as best were two and not yet men had-learned
ἀνέρε κυδαλίμω, Θρασυμήδης Ἀντίλοχός τε,
men glorious Thrasymedes Antilochus and
Πατρόκλοιο θανόντος ἀμύμονος, ἀλλ' ἔτ' ἔφαντο
Patroclus dead blameless but still they-thought
ζωὸν ἐνὶ πρώτῳ ὁμάδῳ Τρώεσσι μάχεσθαι.
alive in the-front throng with-the-Trojans to-fight
τὼ δ' ἐπιοσσομένω θάνατον καὶ φύζαν ἑταίρων
the-two and watching-for the-death and rout of-the-comrades
νόσφιν ἐμαρνάσθην, ἐπεὶ ὣς ἐπετέλλετο Νέστωρ,
apart fought since so had-enjoined Nestor
ὀτρύνων πόλεμόνδε μελαινάων ἀπὸ νηῶν.
urging to-war black from ships

Τοῖς δὲ πανημερίοις ἔριδος μέγα νεῖκος ὀρώρει
For-them and all-day of-strife great quarrel arose
ἀργαλέης· καμάτῳ δὲ καὶ ἱδρῷ νωλεμὲς αἰεὶ
grievous with-weariness and also with-sweat unceasingly always
γούνατά τε κνῆμαί τε πόδες θ' ὑπένερθεν ἑκάστου
the-knees both shins and feet and below of-each
χεῖρές τ' ὀφθαλμοί τε παλάσσετο μαρναμένοιιν
hands and eyes and were-spattered of-the-two-fighting
ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο.
around the-good attendant of-the-swift-footed son-of-Aeacus
ὡς δ' ὅτ' ἀνὴρ ταύροιο βοὸς μεγάλοιο βοείην
as and when a-man of-a-bull ox great the-hide
λαοῖσιν δώῃ τανύειν, μεθύουσαν ἀλοιφῇ·
to-the-people gives to-stretch drenched with-fat
δεξάμενοι δ' ἄρα τοί γε διαστάντες τανύουσι
receiving and then they indeed standing-apart stretch(-it)
κυκλόσ', ἄφαρ δέ τε ἰκμὰς ἔβη, δύνει δέ τ' ἀλοιφὴ
in-a-circle at-once and — the-moisture goes enters and — the-fat
πολλῶν ἑλκόντων, τάνυται δέ τε πᾶσα διαπρό·
many pulling is-stretched and — all right-through
ὣς οἵ γ' ἔνθα καὶ ἔνθα νέκυν ὀλίγῃ ἐνὶ χώρῃ
so they indeed this-way and that the-corpse small in space
εἵλκεον ἀμφότεροι· μάλα δέ σφισιν ἔλπετο θυμός,
were-tugging both very and for-them hoped the-heart

Τρωσὶν μὲν ἐρύειν προτὶ Ἴλιον, αὐτὰρ Ἀχαιοῖς
for-the-Trojans indeed to-drag to Ilium but for-the-Achaeans
νῆας ἔπι γλαφυράς· περὶ δ᾽ αὐτοῦ μῶλος ὀρώρει
the-ships to hollow around and it the-toil arose
ἄγριος· οὐδέ κ᾽ Ἄρης λαοσσόος οὐδέ κ᾽ Ἀθήνη
fierce not-even — Ares host-rousing nor — Athena
τόν γε ἰδοῦσ᾽ ὀνόσαιτ᾽, οὐδ᾽ εἰ μάλα μιν χόλος ἵκοι·
it indeed seeing would-make-light-of not-even if very her anger should-reach
τοῖον Ζεὺς ἐπὶ Πατρόκλῳ ἀνδρῶν τε καὶ ἵππων
such Zeus over Patroclus of-men both and horses
ἤματι τῷ ἐτάνυσσε κακὸν πόνον· οὐδ᾽ ἄρα πώ τι
on-day that strained evil toil nor then yet at-all
ᾔδεε Πάτροκλον τεθνηότα δῖος Ἀχιλλεύς·
knew Patroclus dead noble Achilles
πολλὸν γὰρ ῥ᾽ ἀπάνευθε νεῶν μάρναντο θοάων,
far for then apart from-the-ships they-fought swift
τείχει ὕπο Τρώων· τό μιν οὔ ποτε ἔλπετο θυμῷ
the-wall under of-the-Trojans this him not ever hoped in-heart
τεθνάμεν, ἀλλὰ ζωὸν ἐνιχριμφθέντα πύλῃσιν
to-be-dead but alive having-pressed-close to-the-gates
ἂψ ἀπονοστήσειν, ἐπεὶ οὐδὲ τὸ ἔλπετο πάμπαν
back to-return since not-even this he-hoped at-all
ἐκπέρσειν πτολίεθρον ἄνευ ἕθεν, οὐδὲ σὺν αὐτῷ·
to-sack citadel without him nor with him
πολλάκι γὰρ τό γε μητρὸς ἐπεύθετο νόσφιν ἀκούων,
often for this indeed from-his-mother he-learned apart hearing
ἥ οἱ ἀπαγγέλλεσκε Διὸς μεγάλοιο νόημα.
who to-him used-to-report of-Zeus great the-purpose

δὴ τότε γ' οὔ οἱ ἔειπε κακὸν τόσον ὅσσον ἐτύχθη
indeed then indeed not to-him told evil so-great as-great-as had-come-about
μήτηρ, ὅττι ῥά οἱ πολὺ φίλτατος ὤλεθ' ἑταῖρος.
the-mother that then for-him by-far dearest had-perished comrade
Οἱ δ' αἰεὶ περὶ νεκρὸν ἀκαχμένα δούρατ' ἔχοντες
They and always around the-corpse sharpened spears holding
νωλεμὲς ἐγχρίμπτοντο καὶ ἀλλήλους ἐνάριζον·
unceasingly pressed-close and each-other slew
ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν χαλκοχιτώνων·
thus and some would-say of-the-Achaeans bronze-coated
"ὦ φίλοι, οὐ μὰν ἥμιν ἐϋκλεὲς ἀπονέεσθαι
O friends not indeed for-us glorious to-return
νῆας ἔπι γλαφυράς, ἀλλ' αὐτοῦ γαῖα μέλαινα
the-ships to hollow but here the-earth black
πᾶσι χάνοι· τό κεν ἥμιν ἄφαρ πολὺ κέρδιον εἴη,
for-all may-gape that — for-us at-once far more-profitable would-be
εἰ τοῦτον Τρώεσσι μεθήσομεν ἱπποδάμοισιν
if this-one to-the-Trojans we-shall-let-go horse-taming
ἄστυ πότι σφέτερον ἐρύσαι καὶ κῦδος ἀρέσθαι."
the-town to their to-drag and glory to-win
Ὣς δέ τις αὖ Τρώων μεγαθύμων αὐδήσασκεν·
So and some in-turn of-the-Trojans great-hearted would-say
"ὦ φίλοι, εἰ καὶ μοῖρα παρ' ἀνέρι τῷδε δαμῆναι
O friends if even fate beside man this to-be-subdued
πάντας ὁμῶς, μή πώ τις ἐρωείτω πολέμοιο."
all alike let-not yet any withdraw from-war

The horses of Achilles stand apart from the fight, weeping, their heads bowed to the ground. Zeus pities them and regrets giving immortal horses to a mortal. He will not let Hector drive them, and breathes strength into them. Automedon cannot both drive and fight, so Alcimedon takes the reins. Hector and Aeneas go after the horses. Automedon calls the Ajaxes and Menelaus, kills Aretus, and dodges Hector's spear. The Ajaxes come up, the Trojans fall back, and Automedon strips Aretus and boasts.

Ὣς ἄρα τις εἴπεσκε, μένος δ' ὄρσασκεν ἑκάστου.
So then some would-say the-might and roused of-each
ὣς οἱ μὲν μάρναντο, σιδήρειος δ' ὀρυμαγδὸς
so they indeed fought the-iron and din
χάλκεον οὐρανὸν ἷκε δι' αἰθέρος ἀτρυγέτοιο·
the-bronze heaven reached through the-upper-air barren
ἵπποι δ' Αἰακίδαο μάχης ἀπάνευθεν ἐόντες
the-horses and of-the-son-of-Aeacus from-the-battle apart being
κλαῖον, ἐπεὶ δὴ πρῶτα πυθέσθην ἡνιόχοιο
wept since indeed first they-learned of-the-charioteer
ἐν κονίῃσι πεσόντος ὑφ' Ἕκτορος ἀνδροφόνοιο.
in the-dust fallen under Hector man-slaying
ἦ μὰν Αὐτομέδων, Διώρεος ἄλκιμος υἱός,
truly indeed Automedon of-Diores the-valiant son
πολλὰ μὲν ἂρ μάστιγι θοῇ ἐπεμαίετο θείνων,
much indeed then with-the-whip swift touched striking
πολλὰ δὲ μειλιχίοισι προσηύδα, πολλὰ δ' ἀρειῇ·
much and with-gentle-words he-addressed much and with-threats
τὼ δ' οὔτ' ἂψ ἐπὶ νῆας ἐπὶ πλατὺν Ἑλλήσποντον
they-two and neither back to the-ships to the-broad Hellespont
ἠθελέτην ἰέναι οὔτ' ἐς πόλεμον μετ' Ἀχαιούς,
wished to-go nor into the-war among the-Achaeans

ἀλλ᾽ ὥς τε στήλη μένει ἔμπεδον, ἥ τ᾽ ἐπὶ τύμβῳ
but as — a-pillar stays firm which — on a-tomb
ἀνέρος ἑστήκῃ τεθνηότος ἠὲ γυναικός,
of-a-man stands dead or of-a-woman
ὣς μένον ἀσφαλέως περικαλλέα δίφρον ἔχοντες,
so they-stayed steadfastly the-very-fair chariot holding
οὔδει ἐνισκίμψαντε καρήατα· δάκρυα δέ σφι
to-the-ground bowing the-heads tears and from-them
θερμὰ κατὰ βλεφάρων χαμάδις ῥέε μυρομένοισιν
warm down the-eyelids to-the-ground flowed lamenting
ἡνιόχοιο πόθῳ· θαλερὴ δ᾽ ἐμιαίνετο χαίτη
for-the-charioteer in-longing the-lush and was-defiled mane
ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν ἀμφοτέρωθεν.
from-the-yoke-pad streaming-down by the-yoke on-both-sides
Μυρομένω δ᾽ ἄρα τώ γε ἰδὼν ἐλέησε Κρονίων,
Lamenting and then them indeed seeing pitied the-son-of-Cronus
κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν·
shaking and his-head to his spoke heart
“ἆ δειλώ, τί σφῶϊ δόμεν Πηλῆϊ ἄνακτι
ah wretched-two why you-two we-gave to-Peleus lord
θνητῷ, ὑμεῖς δ᾽ ἐστὸν ἀγήρω τ᾽ ἀθανάτω τε;
mortal you but are ageless both deathless and
ἦ ἵνα δυστήνοισι μετ᾽ ἀνδράσιν ἄλγε᾽ ἔχητον;
or that wretched among men pains you-may-have
οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
not indeed for at-all somewhere is more-miserable than-man
πάντων ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
of-all as-many-as — the-earth on breathe both and creep

ἀλλ᾽ οὐ μὰν ὑμῖν γε καὶ ἅρμασι δαιδαλέοισιν
but not indeed you indeed and the-chariot cunningly-wrought
Ἕκτωρ Πριαμίδης ἐποχήσεται· οὐ γὰρ ἐάσω.
Hector son-of-Priam will-ride not for I-will-allow
ἦ οὐχ ἅλις ὡς καὶ τεύχε᾽ ἔχει καὶ ἐπεύχεται αὔτως;
or not enough that both the-arms he-has and boasts idly
σφῶϊν δ᾽ ἐν γούνεσσι βαλῶ μένος ἠδ᾽ ἐνὶ θυμῷ,
to-you-two and in knees I-will-cast might and in heart
ὄφρα καὶ Αὐτομέδοντα σαώσετον ἐκ πολέμοιο
that also Automedon you-may-save from war
νῆας ἔπι γλαφυράς· ἔτι γάρ σφισι κῦδος ὀρέξω
the-ships to hollow still for to-them glory I-will-grant
κτείνειν, εἰς ὅ κε νῆας ἐϋσσέλμους ἀφίκωνται
to-kill until the-time — the-ships well-benched they-reach
δύῃ τ᾽ ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ."
sets and the-sun and on darkness sacred comes
Ὣς εἰπὼν ἵπποισιν ἐνέπνευσεν μένος ἠΰ.
So having-spoken into-the-horses he-breathed might good
τὼ δ᾽ ἀπὸ χαιτάων κονίην οὐδάσδε βαλόντε
they-two and from the-manes the-dust to-the-ground shaking
ῥίμφα φέρον θοὸν ἅρμα μετὰ Τρῶας καὶ Ἀχαιούς.
nimbly carried the-swift chariot among the-Trojans and Achaeans
τοῖσι δ᾽ ἐπ᾽ Αὐτομέδων μάχετ᾽ ἀχνύμενός περ ἑταίρου,
them and on Automedon fought grieving though for-his-comrade
ἵπποις ἀΐσσων ὥς τ᾽ αἰγυπιὸς μετὰ χῆνας·
with-the-horses darting as — a-vulture among geese
ῥέα μὲν γὰρ φεύγεσκεν ὑπὲκ Τρώων ὀρυμαγδοῦ,
easily indeed for he-would-flee out-of of-the-Trojans the-din
ῥεῖα δ᾽ ἐπαΐξασκε πολὺν καθ᾽ ὅμιλον ὀπάζων.
easily and he-would-dart-at the-great through throng pursuing

ἀλλ᾽ οὐχ ᾕρει φῶτας, ὅτε σεύαιτο διώκειν·
but not he-took men when he-rushed to-pursue
οὐ γάρ πως ἦν οἷον ἐόνθ᾽ ἱερῷ ἐνὶ δίφρῳ
not for at-all it-was-possible alone being sacred in car
ἔγχει ἐφορμᾶσθαι καὶ ἐπίσχειν ὠκέας ἵππους.
with-the-spear to-attack and to-hold-in the-swift horses
ὀψὲ δὲ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν
late and indeed him a-comrade man saw with-eyes
Ἀλκιμέδων, υἱὸς Λαέρκεος Αἱμονίδαο·
Alcimedon son of-Laerces son-of-Haemon
στῆ δ᾽ ὄπιθεν δίφροιο, καὶ Αὐτομέδοντα προσηύδα·
he-stood and behind the-car and Automedon addressed
"Αὐτόμεδον, τίς τοί νυ θεῶν νηκερδέα βουλὴν
Automedon who to-you now of-the-gods unprofitable counsel
ἐν στήθεσσιν ἔθηκε, καὶ ἐξέλετο φρένας ἐσθλάς;
in breast put and took-away your-wits good
οἷον πρὸς Τρῶας μάχεαι πρώτῳ ἐν ὁμίλῳ
how against the-Trojans you-fight the-front in throng
μοῦνος· ἀτάρ τοι ἑταῖρος ἀπέκτατο, τεύχεα δ᾽ Ἕκτωρ
alone but you-know the-comrade has-been-killed the-arms and Hector
αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται Αἰακίδαο."
himself having on-shoulders exults-in of-the-son-of-Aeacus
Τὸν δ᾽ αὖτ᾽ Αὐτομέδων προσέφη, Διώρεος υἱός·
Him and in-turn Automedon addressed of-Diores son
" Ἀλκίμεδον, τίς γάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος
Alcimedon who for to-you of-the-Achaeans other alike
ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένος τε,
of-the-horses immortal to-hold the-taming both might and
εἰ μὴ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
if not Patroclus to-the-gods in-counsel equal

ζωὸς ἐών; νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
alive being now in-turn death and fate overtakes(-him)
ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα
but you indeed the-whip and reins glittering
δέξαι, ἐγὼ δ' ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι."
take I and from-the-horses will-dismount that I-may-fight
Ὣς ἔφατ', Ἀλκιμέδων δὲ βοηθόον ἅρμ' ἐπορούσας
So he-spoke Alcimedon and the-swift chariot leaping-on
καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν,
quickly the-whip and reins took in-hands
Αὐτομέδων δ' ἀπόρουσε· νόησε δὲ φαίδιμος Ἕκτωρ,
Automedon and leapt-down noticed and glorious Hector
αὐτίκα δ' Αἰνείαν προσεφώνεεν ἐγγὺς ἐόντα·
at-once and Aeneas addressed near being
"Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
Aeneas of-the-Trojans counselor bronze-coated
ἵππω τώδ' ἐνόησα ποδώκεος Αἰακίδαο
the-horses these I-have-noticed of-the-swift-footed son-of-Aeacus
ἐς πόλεμον προφανέντε σὺν ἡνιόχοισι κακοῖσι·
into war appearing with charioteers poor
τώ κεν ἐελποίμην αἱρησέμεν, εἰ σύ γε θυμῷ
therefore — I-might-hope to-take(-them) if you indeed in-heart
σῷ ἐθέλεις, ἐπεὶ οὐκ ἂν ἐφορμηθέντε γε νῶϊ
your wish since not — rushing-at indeed us-two
τλαῖεν ἐναντίβιον στάντες μαχέσασθαι Ἄρηϊ."
they-would-dare face-to-face standing to-fight in-battle

Ὣς ἔφατ', οὐδ' ἀπίθησεν ἐϋς πάϊς Ἀγχίσαο.
So he-spoke nor disobeyed the-good son of-Anchises
τὼ δ' ἰθὺς βήτην βοέῃς εἰλυμένω ὤμους
they-two and straight went with-oxhides wrapped the-shoulders
αὔῃσι στερεῇσι· πολὺς δ' ἐπελήλατο χαλκός.
dry tough much and was-beaten-on bronze
τοῖσι δ' ἅμα Χρομίος τε καὶ Ἄρητος θεοειδὴς
them and with Chromius both and Aretus godlike
ἤϊσαν ἀμφότεροι· μάλα δέ σφισιν ἔλπετο θυμὸς
went both very and for-them hoped the-heart
αὐτώ τε κτενέειν ἐλάαν τ' ἐριαύχενας ἵππους·
them both to-kill to-drive-off and the-high-necked horses
νήπιοι, οὐδ' ἄρ' ἔμελλον ἀναιμωτί γε νέεσθαι
fools nor then were-they-to bloodlessly indeed to-return
αὖτις ἀπ' Αὐτομέδοντος. ὁ δ' εὐξάμενος Διὶ πατρὶ
back from Automedon he and praying to-Zeus father
ἀλκῆς καὶ σθένεος πλῆτο φρένας ἀμφὶ μελαίνας·
with-courage and strength was-filled in-wits around black
αὐτίκα δ' Ἀλκιμέδοντα προσηύδα, πιστὸν ἑταῖρον·
at-once and Alcimedon he-addressed trusty comrade
" Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν ἵππους,
Alcimedon not indeed for-me far-off to-hold the-horses
ἀλλὰ μάλ' ἐμπνείοντε μεταφρένῳ· οὐ γὰρ ἔγωγε
but very breathing on-my-back not for I-indeed
Ἕκτορα Πριαμίδην μένεος σχήσεσθαι ὀΐω,
Hector son-of-Priam from-his-might to-be-checked I-think

πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω
before indeed onto of-Achilles the-fair-maned to-mount horses
νῶϊ κατακτείναντα, φοβῆσαί τε στίχας ἀνδρῶν
us-two having-killed to-rout and the-ranks of-men
Ἀργείων, ἤ κ' αὐτὸς ἐνὶ πρώτοισιν ἁλοίη."
of-the-Argives or — himself among the-foremost be-taken
Ὣς εἰπὼν Αἴαντε καλέσσατο καὶ Μενέλαον·
So having-spoken the-Ajaxes he-called and Menelaus
"Αἴαντ', Ἀργείων ἡγήτορε, καὶ Μενέλαε,
Ajaxes of-the-Argives leaders-two and Menelaus
ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ' οἵ περ ἄριστοι
truly indeed the corpse entrust to-those-who indeed are-best
ἀμφ' αὐτῷ βεβάμεν καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν,
around him to-stand and to-ward-off the-ranks of-men
νῶϊν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲς ἦμαρ·
from-us-two but living ward-off the-pitiless day
τῇδε γὰρ ἔβρισαν πόλεμον κάτα δακρυόεντα
here for have-pressed-on war through tearful
Ἕκτωρ Αἰνείας θ', οἳ Τρώων εἰσὶν ἄριστοι.
Hector Aeneas and who of-the-Trojans are best
ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
but truly indeed these-things of-the-gods on knees lie
ἥσω γὰρ καὶ ἐγώ, τὰ δέ κεν Διὶ πάντα μελήσει."
I-will-throw for even I these-things and — to-Zeus all will-be-a-care
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
He-spoke then and poising sent-forth long-shadowed spear
καὶ βάλεν Ἀρήτοιο κατ' ἀσπίδα πάντοσ' ἐΐσην·
and hit Aretus on the-shield on-every-side balanced
ἡ δ' οὐκ ἔγχος ἔρυτο, διαπρὸ δὲ εἴσατο χαλκός,
it and not the-spear stopped right-through and went bronze

νειαίρῃ δ᾽ ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσεν.
the-lowest and in belly through the-belt he-drove(-it)
ὡς δ᾽ ὅτ᾽ ἂν ὀξὺν ἔχων πέλεκυν αἰζήϊος ἀνήρ,
as and when — sharp holding an-ax a-young man
κόψας ἐξόπιθεν κεράων βοὸς ἀγραύλοιο
striking behind the-horns of-an-ox of-the-field
ἶνα τάμῃ διὰ πᾶσαν, ὁ δὲ προθορὼν ἐρίπῃσιν,
the-sinew cuts through all it and leaping-forward falls
ὣς ἄρ᾽ ὅ γε προθορὼν πέσεν ὕπτιος· ἐν δέ οἱ ἔγχος
so then he indeed leaping-forward fell backward in and him the-spear
νηδυίοισι μάλ᾽ ὀξὺ κραδαινόμενον λύε γυῖα.
in-the-bowels very sharp quivering loosed limbs
Ἕκτωρ δ᾽ Αὐτομέδοντος ἀκόντισε δουρὶ φαεινῷ·
Hector and at-Automedon threw with-spear shining
ἀλλ᾽ ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
but he indeed facing seeing avoided the-bronze spear
πρόσσω γὰρ κατέκυψε, τὸ δ᾽ ἐξόπιθεν δόρυ μακρὸν
forward for he-stooped it and behind spear long
οὔδει ἐνισκίμφθη, ἐπὶ δ᾽ οὐρίαχος πελεμίχθη
in-the-ground was-fixed on and the-butt quivered
ἔγχεος· ἔνθα δ᾽ ἔπειτ᾽ ἀφίει μένος ὄβριμος Ἄρης.
of-the-spear there and then let-go its-might mighty Ares
καί νύ κε δὴ ξιφέεσσ᾽ αὐτοσχεδὸν ὁρμηθήτην
and now — indeed with-swords at-close-quarters they-would-have-rushed
εἰ μή σφω᾽ Αἴαντε διέκριναν μεμαῶτε,
if not them the-Ajaxes parted eager
οἵ ῥ᾽ ἦλθον καθ᾽ ὅμιλον ἑταίρου κικλήσκοντος·
who then came through the-throng their-comrade calling

τοὺς ὑποταρβήσαντες ἐχώρησαν πάλιν αὖτις
them shrinking-back gave-way back again
Ἕκτωρ Αἰνείας τ᾽ ἠδὲ Χρομίος θεοειδής,
Hector Aeneas and and Chromius godlike
Ἄρητον δὲ κατ᾽ αὖθι λίπον δεδαϊγμένον ἦτορ
Aretus and down there they-left torn in-heart
κείμενον· Αὐτομέδων δὲ θοῷ ἀτάλαντος Ἄρηϊ
lying Automedon and to-swift equal Ares
τεύχεά τ᾽ ἐξενάριξε καὶ εὐχόμενος ἔπος ηὔδα·
the-arms and stripped and boasting word spoke
“ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντος
truly indeed indeed a-little indeed of-the-son-of-Menoetius dead
κῆρ ἄχεος μεθέηκα χερείονά περ καταπεφνών.”
the-heart from-grief I-have-relieved worse though having-slain
Ὣς εἰπὼν ἐς δίφρον ἑλὼν ἔναρα βροτόεντα
So having-spoken into the-chariot taking the-spoils bloody
θῆκ᾽, ἂν δ᾽ αὐτὸς ἔβαινε πόδας καὶ χεῖρας ὕπερθεν
he-put up and himself went feet and hands above
αἱματόεις ὥς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς.
bloody as some — lion down a-bull having-eaten

Athena, in the form of Phoenix, puts the courage of a fly into Menelaus, who kills Podes, Hector's friend. Apollo rebukes Hector, who charges. Zeus shakes the aegis on Ida and gives the Trojans the victory. Hector, throwing at Idomeneus, kills Coeranus, Meriones' charioteer, and Idomeneus flees to the ships.

Ἄψ δ' ἐπὶ Πατρόκλῳ τέτατο κρατερὴ ὑσμίνη
Back and over Patroclus was-strained the-mighty combat
ἀργαλέη πολύδακρυς, ἔγειρε δὲ νεῖκος Ἀθήνη
grievous much-tearful roused and the-strife Athena
οὐρανόθεν καταβᾶσα· προῆκε γὰρ εὐρύοπα Ζεὺς
from-heaven coming-down sent-forth for far-seeing Zeus
ὀρνύμεναι Δαναούς· δὴ γὰρ νόος ἐτράπετ' αὐτοῦ.
to-rouse the-Danaans indeed for the-mind was-turned of-him
ἠΰτε πορφυρέην ἶριν θνητοῖσι τανύσσῃ
as a-purple rainbow for-mortals stretches
Ζεὺς ἐξ οὐρανόθεν, τέρας ἔμμεναι ἢ πολέμοιο,
Zeus from heaven a-portent to-be either of-war
ἢ καὶ χειμῶνος δυσθαλπέος, ὅς ῥά τε ἔργων
or also of-storm chilling which then — from-works
ἀνθρώπους ἀνέπαυσεν ἐπὶ χθονί, μῆλα δὲ κήδει,
men stops upon the-earth the-flocks and harms
ὣς ἡ πορφυρέῃ νεφέλῃ πυκάσασα ἑ αὐτὴν
so she in-purple cloud covering her herself
δύσετ' Ἀχαιῶν ἔθνος, ἔγειρε δὲ φῶτα ἕκαστον.
entered of-the-Achaeans the-band roused and man each
πρῶτον δ' Ἀτρέος υἱὸν ἐποτρύνουσα προσηύδα,
first and of-Atreus the-son urging addressed

ἴφθιμον Μενέλαον — ὁ γάρ ῥά οἱ ἐγγύθεν ἦεν —
mighty Menelaus he for then to-her near was
εἰσαμένη Φοίνικι δέμας καὶ ἀτειρέα φωνήν·
likening-herself to-Phoenix in-form and untiring voice
"σοὶ μὲν δή, Μενέλαε, κατηφείη καὶ ὄνειδος
for-you indeed truly Menelaus a-disgrace and reproach
ἔσσεται, εἴ κ' Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον
will-be if — of-Achilles lordly the-trusty comrade
τείχει ὕπο Τρώων ταχέες κύνες ἑλκήσουσιν.
the-wall under of-the-Trojans swift dogs will-drag
ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα."
but hold mightily urge and the-host all
Τὴν δ' αὖτε προσέειπε βοὴν ἀγαθὸς Μενέλαος·
Her and in-turn addressed at-the-war-cry good Menelaus
"Φοῖνιξ, ἄττα γεραιὲ παλαιγενές, εἰ γὰρ Ἀθήνη
Phoenix father old-man born-of-old if-only for Athena
δοίη κάρτος ἐμοί, βελέων δ' ἀπερύκοι ἐρωήν·
would-give strength to-me of-the-missiles and would-ward-off the-rush
τῷ κεν ἔγωγ' ἐθέλοιμι παρεστάμεναι καὶ ἀμύνειν
then — I-indeed would-wish to-stand-by and to-defend
Πατρόκλῳ· μάλα γάρ με θανὼν ἐσεμάσσατο θυμόν.
Patroclus very for me dying touched the-heart
ἀλλ' Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος, οὐδ' ἀπολήγει
but Hector of-fire the-dread has might nor ceases
χαλκῷ δηϊόων· τῷ γὰρ Ζεὺς κῦδος ὀπάζει."
with-bronze slaying to-him for Zeus glory grants
Ὣς φάτο, γήθησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
So he-spoke rejoiced and the-goddess flashing-eyed Athena
ὅττι ῥά οἱ πάμπρωτα θεῶν ἠρήσατο πάντων.
that then to-her first of-the-gods he-prayed of-all

ἐν δὲ βίην ὤμοισι καὶ ἐν γούνεσσιν ἔθηκε,
in and strength in-shoulders and in knees she-put
καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἐνῆκεν,
and in-him of-a-fly the-boldness in breast she-put
ἥ τε καὶ ἐργομένη μάλα περ χροὸς ἀνδρομέοιο
which — even driven-off very though from-the-flesh human
ἰσχανάᾳ δακέειν, λαρόν τέ οἱ αἷμ᾽ ἀνθρώπου·
persists to-bite sweet and to-it the-blood of-man
τοίου μιν θάρσευς πλῆσε φρένας ἀμφὶ μελαίνας,
with-such him boldness she-filled in-wits around black
βῆ δ᾽ ἐπὶ Πατρόκλῳ, καὶ ἀκόντισε δουρὶ φαεινῷ.
he-went and over Patroclus and threw with-spear shining
ἔσκε δ᾽ ἐνὶ Τρώεσσι Ποδῆς, υἱὸς Ἠετίωνος,
was and among the-Trojans Podes son of-Eetion
ἀφνειός τ᾽ ἀγαθός τε· μάλιστα δέ μιν τίεν Ἕκτωρ
rich both good and most and him honored Hector
δήμου, ἐπεί οἱ ἑταῖρος ἦεν φίλος εἰλαπιναστής·
of-the-people since to-him comrade he-was dear boon-companion
τόν ῥα κατὰ ζωστῆρα βάλε ξανθὸς Μενέλαος
him then on the-belt hit fair-haired Menelaus
ἀΐξαντα φόβονδε, διαπρὸ δὲ χαλκὸν ἔλασσε·
darting to-flight right-through and bronze drove
δούπησεν δὲ πεσών· ἀτὰρ Ἀτρεΐδης Μενέλαος
he-thudded and falling but the-son-of-Atreus Menelaus
νεκρὸν ὑπὲκ Τρώων ἔρυσεν μετὰ ἕθνος ἑταίρων.
the-corpse out-of the-Trojans dragged into the-band of-comrades

Ἕκτορα δ' ἐγγύθεν ἱστάμενος ὤτρυνεν Ἀπόλλων,
Hector and near standing urged Apollo
Φαίνοπι Ἀσιάδῃ ἐναλίγκιος, ὅς οἱ ἁπάντων
to-Phaenops son-of-Asius like who to-him of-all
ξείνων φίλτατος ἔσκεν, Ἀβυδόθι οἰκία ναίων·
guests dearest was in-Abydos homes dwelling
τῷ μιν ἐεισάμενος προσέφη ἑκάεργος Ἀπόλλων·
to-him him likening addressed the-far-worker Apollo
" Ἕκτορ, τίς κέ σ' ἔτ' ἄλλος Ἀχαιῶν ταρβήσειεν;
Hector who — you still other of-the-Achaeans would-fear
οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος γε
how indeed Menelaus you-shrank-from who the before indeed
μαλθακὸς αἰχμητής· νῦν δ' οἴχεται οἷος ἀείρας
a-soft spearman now but goes-off alone having-lifted
νεκρὸν ὑπὲκ Τρώων, σὸν δ' ἔκτανε πιστὸν ἑταῖρον
the-corpse out-of the-Trojans your and he-has-killed trusty comrade
ἐσθλὸν ἐνὶ προμάχοισι, Ποδῆν, υἱὸν Ἠετίωνος."
brave among the-champions Podes son of-Eetion
Ὣς φάτο, τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα,
So he-spoke him and of-grief a-cloud covered black
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ.
he-went and through the-champions helmeted in-gleaming bronze
καὶ τότ' ἄρα Κρονίδης ἕλετ' αἰγίδα θυσσανόεσσαν
and then then the-son-of-Cronus took the-aegis tasseled
μαρμαρέην, Ἴδην δὲ κατὰ νεφέεσσι κάλυψεν,
glittering Ida and down with-clouds covered
ἀστράψας δὲ μάλα μεγάλ' ἔκτυπε, τὴν δ' ἐτίναξε,
lightening and very loudly thundered it and shook
νίκην δὲ Τρώεσσι δίδου, ἐφόβησε δ' Ἀχαιούς.
victory and to-the-Trojans gave routed and the-Achaeans

Πρῶτος Πηνέλεως Βοιώτιος ἦρχε φόβοιο.
First Peneleos the-Boeotian began the-rout
βλῆτο γὰρ ὦμον δουρὶ πρόσω τετραμμένος αἰεὶ
he-was-hit for the-shoulder with-a-spear forward turned always
ἄκρον ἐπιλίγδην· γράψεν δέ οἱ ὀστέον ἄχρις
at-the-top grazing scratched and his bone to-the-very
αἰχμὴ Πουλυδάμαντος· ὁ γάρ ῥ' ἔβαλε σχεδὸν ἐλθών.
the-point of-Polydamas he for then hit near coming
Λήϊτον αὖθ' Ἕκτωρ σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ
Leïtus in-turn Hector near wounded the-hand on the-wrist
υἱὸν Ἀλεκτρυόνος μεγαθύμου, παῦσε δὲ χάρμης·
son of-Alectryon great-hearted stopped and from-the-fight
τρέσσε δὲ παπτήνας, ἐπεὶ οὐκέτι ἔλπετο θυμῷ
he-fled and peering-around since no-longer he-hoped in-heart
ἔγχος ἔχων ἐν χειρὶ μαχήσεσθαι Τρώεσσιν.
spear holding in hand to-fight with-the-Trojans
Ἕκτορα δ' Ἰδομενεὺς μετὰ Λήϊτον ὁρμηθέντα
Hector and Idomeneus after Leïtus rushing
βεβλήκει θώρηκα κατὰ στῆθος παρὰ μαζόν·
hit on-the-corselet on the-breast beside the-nipple
ἐν καυλῷ δ' ἐάγη δολιχὸν δόρυ, τοὶ δὲ βόησαν
in the-socket and broke the-long spear they and shouted
Τρῶες· ὁ δ' Ἰδομενῆος ἀκόντισε Δευκαλίδαο
the-Trojans he and at-Idomeneus threw son-of-Deucalion
δίφρῳ ἐφεσταότος· τοῦ μέν ῥ' ἀπὸ τυτθὸν ἅμαρτεν·
on-the-car standing him indeed then from a-little missed
αὐτὰρ ὁ Μηριόναο ὀπάονά θ' ἡνίοχόν τε,
but he of-Meriones the-follower both charioteer and

Κοίρανον, ὅς ῥ' ἐκ Λύκτου ἐϋκτιμένης ἕπετ' αὐτῷ —
Coeranus who then from Lyctus well-built followed him
πεζὸς γὰρ τὰ πρῶτα λιπὼν νέας ἀμφιελίσσας
on-foot for — first leaving the-ships curved
ἦλυθε, καί κε Τρωσὶ μέγα κράτος ἐγγυάλιξεν,
he-had-come and — to-the-Trojans great power would-have-granted
εἰ μὴ Κοίρανος ὦκα ποδώκεας ἤλασεν ἵππους·
if not Coeranus quickly the-swift-footed had-driven horses
καὶ τῷ μὲν φάος ἦλθεν, ἄμυνε δὲ νηλεὲς ἦμαρ,
and to-him indeed light came he-warded-off and the-pitiless day
αὐτὸς δ' ὤλεσε θυμὸν ὑφ' Ἕκτορος ἀνδροφόνοιο —
himself and lost his-life under Hector man-slaying
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος, ἐκ δ' ἄρ' ὀδόντας
him he-hit under the-jaw and the-ear out and then the-teeth
ὦσε δόρυ πρυμνόν, διὰ δὲ γλῶσσαν τάμε μέσσην.
thrust the-spear the-butt through and the-tongue cut middle
ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ἡνία χεῦεν ἔραζε.
he-fell and from the-chariot down and the-reins poured to-the-ground
καὶ τά γε Μηριόνης ἕλαβεν χείρεσσι φίλῃσι
and them indeed Meriones took in-hands his-own
κύψας ἐκ πεδίοιο, καὶ Ἰδομενῆα προσηύδα·
stooping from the-plain and Idomeneus addressed
"μάστιε νῦν, ἧός κε θοὰς ἐπὶ νῆας ἵκηαι·
lash now until — the-swift to ships you-reach
γιγνώσκεις δὲ καὶ αὐτὸς ὅ τ' οὐκέτι κάρτος Ἀχαιῶν."
you-know and also yourself that — no-longer the-power of-the-Achaeans
Ὣς ἔφατ', Ἰδομενεὺς δ' ἵμασεν καλλίτριχας ἵππους
So he-spoke Idomeneus and lashed the-fair-maned horses
νῆας ἔπι γλαφυράς· δὴ γὰρ δέος ἔμπεσε θυμῷ.
the-ships to hollow indeed for fear fell-on his-heart

Ajax sees Zeus helping the Trojans and prays him to lift the mist, so the Achaeans may die in daylight. Zeus clears it. At Ajax's word, Menelaus finds Antilochus, who weeps and runs to tell Achilles. Menelaus returns and warns that Achilles cannot fight without armor. He and Meriones lift the body while the two Ajaxes hold back the Trojans. They carry it toward the ships like mules dragging a beam. Hector and Aeneas press after them, and the Achaeans flee, dropping their arms around the ditch.

Οὐδ' ἔλαθ' Αἴαντα μεγαλήτορα καὶ Μενέλαον
Nor escaped Ajax great-hearted and Menelaus
Ζεύς, ὅτε δὴ Τρώεσσι δίδου ἑτεραλκέα νίκην.
Zeus when indeed to-the-Trojans he-gave turning victory
τοῖσι δὲ μύθων ἦρχε μέγας Τελαμώνιος Αἴας·
them and of-words began great Telamonian Ajax
"ὦ πόποι, ἤδη μέν κε καὶ ὃς μάλα νήπιός ἐστι
oh for-shame already indeed — even who very foolish is
γνοίη ὅτι Τρώεσσι πατὴρ Ζεὺς αὐτὸς ἀρήγει. 630
would-know that the-Trojans father Zeus himself helps
τῶν μὲν γὰρ πάντων βέλε' ἅπτεται, ὅς τις ἀφήῃ
of-them indeed for all the-missiles strike who any hurls
ἠὲ κακὸς ἠὲ ἀγαθός· Ζεὺς δ' ἔμπης πάντ' ἰθύνει·
whether coward or brave Zeus and nevertheless all guides
ἡμῖν δ' αὔτως πᾶσιν ἐτώσια πίπτει ἔραζε.
for-us but so all in-vain fall to-the-ground
ἀλλ' ἄγετ' αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
but come ourselves indeed let-us-devise counsel best

ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ
both how the corpse we-may-drag and also ourselves
χάρμα φίλοις ἑτάροισι γενώμεθα νοστήσαντες,
a-joy to-our-dear comrades may-become having-returned
οἵ που δεῦρ' ὁρόωντες ἀκηχέδατ', οὐδ' ἔτι φασὶν
who surely hither looking are-grieved nor any-longer they-say
Ἕκτορος ἀνδροφόνοιο μένος καὶ χεῖρας ἀάπτους
of-Hector man-slaying the-might and hands invincible
σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.
will-be-held but on the-ships black will-fall
εἴη δ' ὅς τις ἑταῖρος ἀπαγγείλειε τάχιστα
may-there-be and who any comrade might-report soonest
Πηλεΐδῃ, ἐπεὶ οὔ μιν ὀΐομαι οὐδὲ πεπύσθαι
to-the-son-of-Peleus since not him I-think even to-have-learned
λυγρῆς ἀγγελίης, ὅτι οἱ φίλος ὤλεθ' ἑταῖρος.
of-the-grievous message that his dear has-perished comrade
ἀλλ' οὔ πῃ δύναμαι ἰδέειν τοιοῦτον Ἀχαιῶν·
but not anywhere can-I see such of-the-Achaeans
ἠέρι γὰρ κατέχονται ὁμῶς αὐτοί τε καὶ ἵπποι.
in-mist for are-held alike themselves both and horses
Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν,
Zeus father but you rescue from the-mist the-sons of-the-Achaeans
ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι·
make and clear-sky grant and with-eyes to-see
ἐν δὲ φάει καὶ ὄλεσσον, ἐπεί νύ τοι εὔαδεν οὕτως."
in and the-light even destroy(-us) since now to-you it-has-pleased so

Ὣς φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέοντα·
So he-spoke him and the-father pitied tears shedding
αὐτίκα δ' ἠέρα μὲν σκέδασεν καὶ ἀπῶσεν ὀμίχλην,
at-once and the-mist indeed he-scattered and thrust-away the-fog

ἠέλιος δ' ἐπέλαμψε, μάχη δ' ἐπὶ πᾶσα φαάνθη·
the-sun and shone-upon the-battle and in all was-revealed
καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
and then then Ajax said at-the-war-cry good Menelaus
"σκέπτεο νῦν, Μενέλαε διοτρεφές, αἴ κεν ἴδηαι
look now Menelaus Zeus-nurtured if — you-may-see
ζωὸν ἔτ' Ἀντίλοχον, μεγαθύμου Νέστορος υἱόν,
alive still Antilochus of-great-hearted Nestor son
ὄτρυνον δ' Ἀχιλῆϊ δαΐφρονι θᾶσσον ἰόντα
urge and to-Achilles wise quickly going
εἰπεῖν ὅττι ῥά οἱ πολὺ φίλτατος ὤλεθ' ἑταῖρος."
to-tell that then his far dearest has-perished comrade
Ὣς ἔφατ', οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος,
So he-spoke nor disobeyed at-the-war-cry good Menelaus
βῆ δ' ἰέναι ὥς τίς τε λέων ἀπὸ μεσσαύλοιο,
he-went and to-go as some — a-lion from the-farmyard
ὅς τ' ἐπεὶ ἄρ κε κάμῃσι κύνας τ' ἄνδρας τ' ἐρεθίζων,
who — when then — he-is-weary dogs both men and provoking
οἵ τέ μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἑλέσθαι
who — him not allow of-the-cattle out the-fat to-take
πάννυχοι ἐγρήσσοντες· ὁ δὲ κρειῶν ἐρατίζων
all-night watching he and for-meat craving
ἰθύει, ἀλλ' οὔ τι πρήσσει· θαμέες γὰρ ἄκοντες
charges but not at-all succeeds thick for javelins
ἀντίον ἀΐσσουσι θρασειάων ἀπὸ χειρῶν,
against dart bold from hands
καιόμεναί τε δεταί, τάς τε τρεῖ ἐσσύμενός περ·
burning and torches which — he-dreads eager though
ἠῶθεν δ' ἀπονόσφιν ἔβη τετιηότι θυμῷ·
at-dawn and away goes with-saddened heart

ὣς ἀπὸ Πατρόκλοιο βοὴν ἀγαθὸς Μενέλαος
so from Patroclus at-the-war-cry good Menelaus
ᾔϊε πόλλ' ἀέκων· περὶ γὰρ δίε μή μιν Ἀχαιοὶ
went much unwilling greatly for he-feared lest him the-Achaeans
ἀργαλέου πρὸ φόβοιο ἔλωρ δηΐοισι λίποιεν.
grievous before rout a-prey to-the-foes should-leave
πολλὰ δὲ Μηριόνῃ τε καὶ Αἰάντεσσ' ἐπέτελλεν·
much and to-Meriones both and the-Ajaxes he-enjoined
"Αἴαντ', Ἀργείων ἡγήτορε, Μηριόνη τε,
Ajaxes of-the-Argives leaders-two Meriones and
νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο
now each the-gentleness of-Patroclus wretched
μνησάσθω· πᾶσιν γὰρ ἐπίστατο μείλιχος εἶναι
let-remember to-all for he-knew-how kind to-be
ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει."
alive being now in-turn death and fate overtakes(-him)
Ὣς ἄρα φωνήσας ἀπέβη ξανθὸς Μενέλαος,
So then having-spoken departed fair-haired Menelaus
πάντοσε παπταίνων ὥς τ' αἰετός, ὅν ῥά τέ φασιν
everywhere peering as — an-eagle which then — they-say
ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν,
most-sharply to-see of-the-under-heaven birds
ὅν τε καὶ ὑψόθ' ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτὼξ
which — even on-high being in-feet swift not escapes the-hare
θάμνῳ ὑπ' ἀμφικόμῳ κατακείμενος, ἀλλά τ' ἐπ' αὐτῷ
the-bush under leafy crouching but — on it
ἔσσυτο, καί τέ μιν ὦκα λαβὼν ἐξείλετο θυμόν.
swoops and — it quickly seizing takes-away its-life

ὣς τότε σοί, Μενέλαε διοτρεφές, ὄσσε φαεινὼ
so then of-you Menelaus Zeus-nurtured the-eyes shining
πάντοσε δινείσθην πολέων κατὰ ἔθνος ἑταίρων,
everywhere rolled of-many through the-band of-comrades
εἴ που Νέστορος υἱὸν ἔτι ζώοντα ἴδοιτο.
if somewhere of-Nestor the-son still living he-might-see
τὸν δὲ μάλ' αἶψα νόησε μάχης ἐπ' ἀριστερὰ πάσης
him and very quickly noticed of-the-battle on the-left all
θαρσύνονθ' ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι,
cheering his-comrades and urging to-fight
ἀγχοῦ δ' ἱστάμενος προσέφη ξανθὸς Μενέλαος·
near and standing addressed fair-haired Menelaus
"Ἀντίλοχ', εἰ δ' ἄγε δεῦρο, διοτρεφές, ὄφρα πύθηαι
Antilochus if and come here Zeus-nurtured that you-may-learn
λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
of-a-grievous message which not ought to-have-happened
ἤδη μὲν σὲ καὶ αὐτὸν ὀΐομαι εἰσορόωντα
already indeed you even yourself I-think seeing
γιγνώσκειν ὅτι πῆμα θεὸς Δαναοῖσι κυλίνδει,
to-know that bane a-god on-the-Danaans rolls
νίκη δὲ Τρώων· πέφαται δ' ὥριστος Ἀχαιῶν,
victory and of-the-Trojans has-been-slain and the-best of-the-Achaeans
Πάτροκλος, μεγάλη δὲ ποθὴ Δαναοῖσι τέτυκται.
Patroclus great and longing for-the-Danaans has-arisen
ἀλλὰ σύ γ' αἶψ' Ἀχιλῆϊ θέων ἐπὶ νῆας Ἀχαιῶν
but you indeed quickly to-Achilles running to the-ships of-the-Achaeans
εἰπεῖν, αἴ κε τάχιστα νέκυν ἐπὶ νῆα σαώσῃ
tell if — soonest the-corpse to the-ship he-may-save
γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ."
naked but the indeed arms has helmet-flashing Hector

Ὣς ἔφατ', Ἀντίλοχος δὲ κατέστυγε μῦθον ἀκούσας·
So he-spoke Antilochus and loathed the-word hearing
δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε, τὼ δέ οἱ ὄσσε
long and him speechlessness of-words seized the-two and his eyes
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
with-tears were-filled the-full and his was-checked voice
ἀλλ' οὐδ' ὣς Μενελάου ἐφημοσύνης ἀμέλησε,
but not-even so of-Menelaus the-command did-he-neglect
βῆ δὲ θέειν, τὰ δὲ τεύχε' ἀμύμονι δῶκεν ἑταίρῳ
he-went and to-run the and arms to-the-blameless he-gave comrade
Λαοδόκῳ, ὅς οἱ σχεδὸν ἔστρεφε μώνυχας ἵππους.
Laodocus who him near turned the-single-hoofed horses
Τὸν μὲν δάκρυ χέοντα πόδες φέρον ἐκ πολέμοιο
Him indeed tears shedding the-feet carried from war
Πηλεΐδῃ Ἀχιλῆϊ κακὸν ἔπος ἀγγελέοντα.
to-the-son-of-Peleus Achilles an-evil word to-report
οὐδ' ἄρα σοί, Μενέλαε διοτρεφές, ἤθελε θυμὸς
nor then your Menelaus Zeus-nurtured wished heart
τειρομένοις ἑτάροισιν ἀμυνέμεν, ἔνθεν ἀπῆλθεν
to-the-worn-out comrades to-help whence went-away
Ἀντίλοχος, μεγάλη δὲ ποθὴ Πυλίοισιν ἐτύχθη·
Antilochus great and longing for-the-Pylians arose
ἀλλ' ὅ γε τοῖσιν μὲν Θρασυμήδεα δῖον ἀνῆκεν,
but he indeed to-them indeed Thrasymedes noble sent
αὐτὸς δ' αὖτ' ἐπὶ Πατρόκλῳ ἥρωϊ βεβήκει,
himself and in-turn over Patroclus hero went
στῆ δὲ παρ' Αἰάντεσσι θέων, εἶθαρ δὲ προσηύδα·
stood and by the-Ajaxes running at-once and addressed

"κεῖνον μὲν δὴ νηυσὶν ἐπιπροέηκα θοῇσιν
that-one indeed truly to-the-ships I-have-sent-forth swift
ἐλθεῖν εἰς Ἀχιλῆα πόδας ταχύν· οὐδέ μιν οἴω
to-go to Achilles in-feet swift nor him I-think
νῦν ἰέναι μάλα περ κεχολωμένον Ἕκτορι δίῳ·
now to-come very though enraged with-Hector noble
οὐ γάρ πως ἂν γυμνὸς ἐὼν Τρώεσσι μάχοιτο.
not for at-all — unarmed being with-the-Trojans he-could-fight
ἡμεῖς δ' αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
we and ourselves indeed let-us-devise counsel best
ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ
both how the corpse we-may-drag and also ourselves
Τρώων ἐξ ἐνοπῆς θάνατον καὶ κῆρα φύγωμεν."
of-the-Trojans out-of the-din death and doom may-escape
Τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Τελαμώνιος Αἴας·
Him and answered then great Telamonian Ajax
"πάντα κατ' αἶσαν ἔειπες, ἀγακλεὲς ὦ Μενέλαε·
all according-to due you-have-spoken far-famed O Menelaus
ἀλλὰ σὺ μὲν καὶ Μηριόνης ὑποδύντε μάλ' ὦκα
but you indeed and Meriones stooping-under very quickly
νεκρὸν ἀείραντες φέρετ' ἐκ πόνου· αὐτὰρ ὄπισθε
the-corpse lifting carry from the-toil but behind
νῶϊ μαχησόμεθα Τρωσίν τε καὶ Ἕκτορι δίῳ
we-two will-fight with-the-Trojans both and Hector noble
ἶσον θυμὸν ἔχοντες ὁμώνυμοι, οἵ τὸ πάρος περ
equal spirit having of-the-same-name who the before indeed
μίμνομεν ὀξὺν Ἄρηα παρ' ἀλλήλοισι μένοντες."
stand-fast sharp Ares beside each-other staying

Ὣς ἔφαθ', οἱ δ' ἄρα νεκρὸν ἀπὸ χθονὸς ἀγκάζοντο
So he-spoke they and then the-corpse from the-ground lifted-in-their-arms
ὕψι μάλα μεγάλως· ἐπὶ δ' ἴαχε λαὸς ὄπισθε
on-high very mightily on and shouted the-host behind
Τρωϊκός, ὡς εἶδοντο νέκυν αἴροντας Ἀχαιούς.
Trojan when they-saw the-corpse lifting the-Achaeans
ἴθυσαν δὲ κύνεσσιν ἐοικότες, οἵ τ' ἐπὶ κάπρῳ
they-charged-straight and to-dogs like which — at a-boar
βλημένῳ ἀΐξωσι πρὸ κούρων θηρητήρων·
wounded dart before young hunters
ἔως μὲν γάρ τε θέουσι διαρραῖσαι μεμαῶτες,
while indeed for — they-run to-tear-apart eager
ἀλλ' ὅτε δή ῥ' ἐν τοῖσιν ἑλίξεται ἀλκὶ πεποιθώς,
but when indeed then among them turns in-strength trusting
ἄψ τ' ἀνεχώρησαν διά τ' ἔτρεσαν ἄλλυδις ἄλλος.
back both they-withdraw apart and scatter one-here another-there
ὣς Τρῶες ἧος μὲν ὁμιλαδὸν αἰὲν ἕποντο
so the-Trojans while indeed in-a-throng always followed
νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·
stabbing with-swords both and spears double-pointed
ἀλλ' ὅτε δή ῥ' Αἴαντε μεταστρεφθέντε κατ' αὐτοὺς
but when indeed then the-Ajaxes turning against them
σταίησαν, τῶν δὲ τράπετο χρώς, οὐδέ τις ἔτλη
stood of-them and turned the-color nor any dared
πρόσσω ἀΐξας περὶ νεκροῦ δηριάασθαι.
forward darting about the-corpse to-contend

Ὣς οἵ γ' ἐμμεμαῶτε νέκυν φέρον ἐκ πολέμοιο
So they indeed eagerly the-corpse carried from war
νῆας ἔπι γλαφυράς· ἐπὶ δὲ πτόλεμος τέτατό σφιν
the-ships to hollow on and war was-strained against-them
ἄγριος ἠΰτε πῦρ, τό τ' ἐπεσσύμενον πόλιν ἀνδρῶν
fierce like fire which — rushing a-city of-men
ὄρμενον ἐξαίφνης φλεγέθει, μινύθουσι δὲ οἶκοι
rising suddenly blazes are-diminished and the-houses
ἐν σέλαϊ μεγάλῳ· τὸ δ' ἐπιβρέμει ἶς ἀνέμοιο.
in glare great it and roars-over the-force of-the-wind
ὣς μὲν τοῖς ἵππων τε καὶ ἀνδρῶν αἰχμητάων
so indeed upon-them of-horses both and of-men spearmen
ἀζηχὴς ὀρυμαγδὸς ἐπήϊεν ἐρχομένοισιν·
ceaseless din came going
οἱ δ' ὥς θ' ἡμίονοι κρατερὸν μένος ἀμφιβαλόντες
they and as — mules mighty strength putting-on
ἕλκωσ' ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπὸν
drag from a-mountain down a-rugged path
ἢ δοκὸν ἠὲ δόρυ μέγα νήϊον· ἐν δέ τε θυμὸς
either a-beam or timber great ship's in and — the-heart
τείρεθ' ὁμοῦ καμάτῳ τε καὶ ἱδρῷ σπευδόντεσσιν·
is-worn together with-weariness both and sweat as-they-strain
ὣς οἵ γ' ἐμμεμαῶτε νέκυν φέρον. αὐτὰρ ὄπισθεν
so they indeed eagerly the-corpse carried but behind
Αἴαντ' ἰσχανέτην, ὥς τε πρὼν ἰσχάνει ὕδωρ
the-Ajaxes held-back as — a-headland holds-back water
ὑλήεις, πεδίοιο διαπρύσιον τετυχηκώς,
wooded over-the-plain through stretching

ὅς τε καὶ ἰφθίμων ποταμῶν ἀλεγεινὰ ῥέεθρα
which — also of-mighty rivers the-grievous streams
ἴσχει, ἄφαρ δέ τε πᾶσι ῥόον πεδίονδε τίθησι
checks at-once and — for-all the-flow to-the-plain sets
πλάζων· οὐδέ τί μιν σθένεϊ ῥηγνῦσι ῥέοντες·
turning nor at-all it with-strength break flowing
ὣς αἰεὶ Αἴαντε μάχην ἀνέεργον ὀπίσσω
so always the-Ajaxes the-battle held-back behind
Τρώων· οἱ δ' ἅμ' ἕποντο, δύω δ' ἐν τοῖσι μάλιστα,
of-the-Trojans they and with followed two and among them most
Αἰνείας τ' Ἀγχισιάδης καὶ φαίδιμος Ἕκτωρ.
Aeneas both son-of-Anchises and glorious Hector
τῶν δ' ὥς τε ψαρῶν νέφος ἔρχεται ἠὲ κολοιῶν
of-them and as — of-starlings a-cloud goes or of-jackdaws
οὖλον κεκλήγοντες, ὅτε προΐδωσιν ἰόντα
confusedly shrieking when they-see coming
κίρκον, ὅ τε σμικρῇσι φόνον φέρει ὀρνίθεσσιν,
a-falcon which — to-small slaughter brings birds
ὣς ἄρ' ὑπ' Αἰνείᾳ τε καὶ Ἕκτορι κοῦροι Ἀχαιῶν
so then under Aeneas both and Hector young-men of-the-Achaeans
οὖλον κεκλήγοντες ἴσαν, λήθοντο δὲ χάρμης.
confusedly shrieking went forgot and the-fight
πολλὰ δὲ τεύχεα καλὰ πέσον περί τ' ἀμφί τε τάφρον
many and arms fair fell around both about and the-ditch
φευγόντων Δαναῶν· πολέμου δ' οὐ γίγνετ' ἐρωή.
fleeing of-the-Danaans of-war and not came cessation

BOOK XVIII

XVIII.1 · ACHILLES HEARS THE NEWS

Seeing the Achaeans driven to the ships, Achilles fears his mother's prophecy has come true, that the best of the Myrmidons would die while he lived. Antilochus comes weeping and tells him that Patroclus lies dead, that they fight over his naked body, and that Hector has his armor. A black cloud of grief covers Achilles. He pours dust on his head, lies in the dust, and tears his hair. The captive women shriek and beat their breasts, and Antilochus holds his hands for fear he will cut his throat.

Ὣς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο,
So they indeed fought in-the-likeness of-fire blazing
Ἀντίλοχος δ' Ἀχιλῆϊ πόδας ταχὺς ἄγγελος ἦλθε.
Antilochus and to-Achilles in-feet swift messenger came
τὸν δ' εὗρε προπάροιθε νεῶν ὀρθοκραιράων
him and he-found before the-ships straight-horned
τὰ φρονέοντ' ἀνὰ θυμὸν ἃ δὴ τετελεσμένα ἦεν·
these-things pondering in heart which indeed accomplished were
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
vexed and then he-said to his great-hearted spirit
"ὤ μοι ἐγώ, τί τ' ἄρ' αὖτε κάρη κομόωντες Ἀχαιοὶ
ah me I why — then again on-head long-haired Achaeans
νηυσὶν ἔπι κλονέονται ἀτυζόμενοι πεδίοιο;
the-ships by are-routed driven-in-panic over-the-plain
μὴ δή μοι τελέσωσι θεοὶ κακὰ κήδεα θυμῷ,
lest indeed for-me accomplish the-gods evil sorrows for-the-heart

ὥς ποτέ μοι μήτηρ διεπέφραδε, καί μοι ἔειπε
as once to-me my-mother told and to-me said
Μυρμιδόνων τὸν ἄριστον ἔτι ζώοντος ἐμεῖο
of-the-Myrmidons the best still living me
χερσὶν ὕπο Τρώων λείψειν φάος ἠελίοιο.
hands under of-the-Trojans would-leave the-light of-the-sun
ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱὸς
truly very indeed has-died of-Menoetius the-valiant son
σχέτλιος· ἦ τ' ἐκέλευον ἀπωσάμενον δήϊον πῦρ
stubborn truly — I-bade(-him) having-thrust-back consuming fire
ἂψ ἐπὶ νῆας ἴμεν, μηδ' Ἕκτορι ἶφι μάχεσθαι."
back to the-ships to-come nor with-Hector by-force to-fight
Ὣς ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
While he these-things pondered in mind and in heart
τόφρα οἱ ἐγγύθεν ἦλθεν ἀγαυοῦ Νέστορος υἱὸς
so-long to-him near came of-lordly Nestor son
δάκρυα θερμὰ χέων, φάτο δ' ἀγγελίην ἀλεγεινήν·
tears warm shedding he-spoke and the-message grievous
"ὤ μοι, Πηλέος υἱὲ δαΐφρονος, ἦ μάλα λυγρῆς
ah me of-Peleus son wise truly very of-a-grievous
πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
you-will-learn message which not ought to-have-happened
κεῖται Πάτροκλος, νέκυος δὲ δὴ ἀμφιμάχονται
lies Patroclus the-corpse and indeed they-fight-around
γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ."
naked but the indeed arms has helmet-flashing Hector

Ὣς φάτο, τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
So he-spoke him and of-grief a-cloud covered black
ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
with-both and hands taking the-dust sooty
χεύατο κὰκ κεφαλῆς, χαρίεν δ' ᾔσχυνε πρόσωπον·
he-poured down the-head the-graceful and he-defiled face
νεκταρέῳ δὲ χιτῶνι μέλαιν' ἀμφίζανε τέφρη.
on-the-nectar-sweet and tunic black settled ash
αὐτὸς δ' ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθεὶς
himself and in the-dust great greatly stretched
κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ᾔσχυνε δαΐζων.
lay with-his-dear and hands the-hair defiled tearing
δμῳαὶ δ' ἃς Ἀχιλεὺς ληΐσσατο Πάτροκλός τε
the-maids and whom Achilles had-won-as-booty Patroclus and
θυμὸν ἀκηχέμεναι μεγάλ' ἴαχον, ἐκ δὲ θύραζε
in-heart grieving loudly shrieked out and to-the-door
ἔδραμον ἀμφ' Ἀχιλῆα δαΐφρονα, χερσὶ δὲ πᾶσαι
ran around Achilles wise with-hands and all
στήθεα πεπλήγοντο, λύθεν δ' ὑπὸ γυῖα ἑκάστης.
breasts beat were-loosed and beneath limbs of-each
Ἀντίλοχος δ' ἑτέρωθεν ὀδύρετο δάκρυα λείβων,
Antilochus and on-the-other-side lamented tears shedding
χεῖρας ἔχων Ἀχιλῆος· ὁ δ' ἔστενε κυδάλιμον κῆρ·
the-hands holding of-Achilles he and groaned in-his-glorious heart
δείδιε γὰρ μὴ λαιμὸν ἀπαμήσειε σιδήρῳ.
he-feared for lest the-throat he-should-cut with-iron

Achilles groans, and Thetis hears him in the depths of the sea, where the Nereids gather about her. She comes to him; Patroclus is dead, and he will not live unless he kills Hector. She warns him that his own death comes soon after Hector's, and tells him not to fight until she returns at dawn with armor from Hephaestus.

σμερδαλέον δ᾽ ὤμωξεν· ἄκουσε δὲ πότνια μήτηρ
terribly and he-groaned heard and queenly mother
ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι,
sitting in the-depths of-the-sea beside father old
κώκυσέν τ᾽ ἄρ᾽ ἔπειτα· θεαὶ δέ μιν ἀμφαγέροντο,
she-wailed and then thereafter the-goddesses and her gathered-around
πᾶσαι ὅσαι κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν.
all as-many-as in the-depth of-the-sea Nereids were
ἔνθ᾽ ἄρ᾽ ἔην Γλαύκη τε Θάλειά τε Κυμοδόκη τε,
there then was Glauce both Thalia and Cymodoce and
Νησαίη Σπειώ τε Θόη θ᾽ Ἁλίη τε βοῶπις,
Nesaea Speio both Thoe and Halie and ox-eyed
Κυμοθόη τε καὶ Ἀκταίη καὶ Λιμνώρεια
Cymothoe both and Actaea and Limnoreia
καὶ Μελίτη καὶ Ἰαίρα καὶ Ἀμφιθόη καὶ Ἀγαύη,
and Melite and Iaera and Amphithoe and Agave
Δωτώ τε Πρωτώ τε Φέρουσά τε Δυναμένη τε,
Doto both Proto and Pherusa and Dynamene and
Δεξαμένη τε καὶ Ἀμφινόμη καὶ Καλλιάνειρα,
Dexamene both and Amphinome and Callianeira
Δωρὶς καὶ Πανόπη καὶ ἀγακλειτὴ Γαλάτεια,
Doris and Panope and far-famed Galatea
Νημερτής τε καὶ Ἀψευδὴς καὶ Καλλιάνασσα·
Nemertes both and Apseudes and Callianassa

ἔνθα δ' ἔην Κλυμένη Ἰάνειρά τε καὶ Ἰάνασσα,
there and was Clymene Ianeira both and Ianassa
Μαῖρα καὶ Ὠρείθυια ἐϋπλόκαμός τ' Ἀμάθεια,
Maera and Oreithyia fair-tressed and Amatheia
ἄλλαι θ' αἳ κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν.
others and who in the-depth of-the-sea Nereids were
τῶν δὲ καὶ ἀργύφεον πλῆτο σπέος· αἱ δ' ἅμα πᾶσαι
of-them and also the-silvery was-filled cave they and together all
στήθεα πεπλήγοντο, Θέτις δ' ἐξῆρχε γόοιο·
breasts beat Thetis and began the-lament
"κλῦτε, κασίγνηται Νηρηΐδες, ὄφρ' ἐῢ πᾶσαι
hear sisters Nereids that well all
εἴδετ' ἀκούουσαι ὅσ' ἐμῷ ἔνι κήδεα θυμῷ.
you-may-know hearing how-many my in sorrows heart
ὤ μοι ἐγὼ δειλή, ὤ μοι δυσαριστοτόκεια,
ah me I wretched ah me unhappy-mother-of-the-best
ἥ τ' ἐπεὶ ἂρ τέκον υἱὸν ἀμύμονά τε κρατερόν τε,
who — when then I-bore a-son blameless both strong and
ἔξοχον ἡρώων· ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος·
outstanding of-heroes he and shot-up to-a-sapling like
τὸν μὲν ἐγὼ θρέψασα, φυτὸν ὡς γουνῷ ἀλωῆς,
him indeed I having-reared a-plant like on-the-slope of-an-orchard
νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω
in-the-ships sent-forth curved Ilium into
Τρωσὶ μαχησόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
the-Trojans to-fight him but not I-shall-receive back
οἴκαδε νοστήσαντα δόμον Πηλήϊον εἴσω.
homeward returned the-house Peleian into

ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο
while and for-me he-lives and sees the-light of-the-sun
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
he-grieves nor at-all him can-I help going
ἀλλ᾽ εἶμ᾽, ὄφρα ἴδωμι φίλον τέκος, ἠδ᾽ ἐπακούσω
but I-will-go that I-may-see my-dear child and may-hear
ὅττι μιν ἵκετο πένθος ἀπὸ πτολέμοιο μένοντα.᾽᾽
what him has-reached grief from the-war staying
Ὣς ἄρα φωνήσασα λίπε σπέος· αἱ δὲ σὺν αὐτῇ
So then having-spoken she-left the-cave they and with her
δακρυόεσσαι ἴσαν, περὶ δέ σφισι κῦμα θαλάσσης
tearful went around and them the-wave of-the-sea
ῥήγνυτο· ταὶ δ᾽ ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο
broke they and when indeed Troy rich-soiled they-reached
ἀκτὴν εἰσανέβαινον ἐπισχερώ, ἔνθα θαμειαὶ
the-shore went-up-onto one-after-another where close
Μυρμιδόνων εἴρυντο νέες ταχὺν ἀμφ᾽ Ἀχιλῆα.
of-the-Myrmidons were-drawn-up the-ships swift around Achilles
τῷ δὲ βαρὺ στενάχοντι παρίστατο πότνια μήτηρ,
him and heavily groaning stood-by queenly mother
ὀξὺ δὲ κωκύσασα κάρη λάβε παιδὸς ἑοῖο,
shrilly and wailing the-head she-took of-son her-own
καί ῥ᾽ ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
and then lamenting words winged addressed
“τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
child why do-you-weep what and you in-mind has-reached grief
ἐξαύδα, μὴ κεῦθε· τὰ μὲν δή τοι τετέλεσται
speak-out not hide these-things indeed truly for-you have-been-accomplished
ἐκ Διός, ὡς ἄρα δὴ πρίν γ᾽ εὔχεο χεῖρας ἀνασχών,
by Zeus as then indeed before indeed you-prayed hands holding-up

πάντας ἐπὶ πρύμνῃσιν ἀλήμεναι υἷας Ἀχαιῶν
all at the-sterns to-be-penned the-sons of-the-Achaeans
σεῦ ἐπιδευομένους, παθέειν τ᾽ ἀεκήλια ἔργα.”
you lacking to-suffer and unseemly deeds
Τὴν δὲ βαρὺ στενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Her and heavily groaning addressed in-feet swift Achilles
“μῆτερ ἐμή, τὰ μὲν ἄρ μοι Ὀλύμπιος ἐξετέλεσσεν·
mother my these-things indeed then for-me the-Olympian has-accomplished
ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ᾽ ἑταῖρος, 80
but what to-me of-them pleasure since dear has-perished comrade
Πάτροκλος, τὸν ἐγὼ περὶ πάντων τῖον ἑταίρων,
Patroclus whom I above all honored comrades
ἶσον ἐμῇ κεφαλῇ· τὸν ἀπώλεσα, τεύχεα δ᾽ Ἕκτωρ
equal to-my head him I-have-lost the-arms and Hector
δηώσας ἀπέδυσε πελώρια, θαῦμα ἰδέσθαι,
having-slain stripped huge a-wonder to-see
καλά· τὰ μὲν Πηλῇϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
fair which indeed to-Peleus the-gods gave glorious gifts
ἤματι τῷ ὅτε σε βροτοῦ ἀνέρος ἔμβαλον εὐνῇ. 85
on-day that when you of-mortal man they-cast into-the-bed
αἴθ᾽ ὄφελες σὺ μὲν αὖθι μετ᾽ ἀθανάτῃς ἁλίῃσι
would-that you-had you indeed there among the-immortal sea-goddesses
ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν.
dwelt Peleus and a-mortal had-led-home wife

νῦν δ' ἵνα καὶ σοὶ πένθος ἐνὶ φρεσὶ μυρίον εἴη
now but that also for-you grief in mind countless may-be
παιδὸς ἀποφθιμένοιο, τὸν οὐχ ὑποδέξεαι αὖτις
for-the-son dead whom not you-will-receive back
οἴκαδε νοστήσαντ', ἐπεὶ οὐδ' ἐμὲ θυμὸς ἄνωγε
homeward returned since not-even me the-heart bids
ζώειν οὐδ' ἄνδρεσσι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ
to-live nor among-men to-be if — not Hector
πρῶτος ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃ,
first my under spear struck away life loses
Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδεω ἀποτείσῃ."
of-Patroclus and the-despoiling son-of-Menoetius pays-for
Τὸν δ' αὖτε προσέειπε Θέτις κατὰ δάκρυ χέουσα·
Him and in-turn addressed Thetis down a-tear shedding
"ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγορεύεις·
swift-fated indeed to-me child you-will-be such-as you-speak
αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος."
at-once for to-you then after Hector death is-ready
Τὴν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Her and greatly vexed addressed in-feet swift Achilles
"αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ
at-once may-I-die since not then I-was-to the-comrade
κτεινομένῳ ἐπαμῦναι· ὁ μὲν μάλα τηλόθι πάτρης
being-killed to-help he indeed very far from-the-fatherland
ἔφθιτ', ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι.
perished me and he-lacked of-ruin an-averter to-be
νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
now but since not I-return indeed dear to native land

οὐδέ τι Πατρόκλῳ γενόμην φάος οὐδ' ἑτάροισι
nor at-all for-Patroclus became-I a-light nor for-the-comrades
τοῖς ἄλλοις, οἳ δὴ πολέες δάμεν Ἕκτορι δίῳ,
the other who indeed many were-subdued by-Hector noble
ἀλλ' ἥμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης,
but I-sit by the-ships idle a-burden of-the-earth
τοῖος ἐὼν οἷος οὔ τις Ἀχαιῶν χαλκοχιτώνων
such being as not any of-the-Achaeans bronze-coated
ἐν πολέμῳ· ἀγορῇ δέ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι.
in war in-assembly but — better are also others
ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο,
so strife from both gods from and men may-perish
καὶ χόλος, ὅς τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι,
and anger which — sets-on wise though to-be-harsh
ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο
which — much sweeter than-honey dripping
ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται ἠΰτε καπνός·
of-men in breasts increases like smoke
ὡς ἐμὲ νῦν ἐχόλωσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
so me now has-angered lord of-men Agamemnon
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν ἀχνύμενοί περ,
but these-things indeed to-be-past let-us-let grieving though
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ·
the-heart in breast dear subduing by-necessity
νῦν δ' εἶμ', ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχείω,
now and I-go that of-the-dear head the-destroyer I-may-overtake
Ἕκτορα· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Hector the-doom and I then will-receive whenever — indeed
Ζεὺς ἐθέλῃ τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
Zeus wishes to-accomplish(-it) and immortal gods other

οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα,
not-even for not-even the-might of-Heracles escaped doom
ὅς περ φίλτατος ἔσκε Διὶ Κρονίωνι ἄνακτι·
who indeed dearest was to-Zeus son-of-Cronus lord
ἀλλά ἑ μοῖρα δάμασσε καὶ ἀργαλέος χόλος Ἥρης.
but him fate subdued and grievous anger of-Hera
ὣς καὶ ἐγών, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,
so also I if indeed for-me like fate has-been-made
κείσομ᾽ ἐπεί κε θάνω· νῦν δὲ κλέος ἐσθλὸν ἀροίμην,
shall-lie when — I-die now but glory good may-I-win
καί τινα Τρωϊάδων καὶ Δαρδανίδων βαθυκόλπων
and some of-the-Trojan-women and Dardanian-women deep-bosomed
ἀμφοτέρῃσιν χερσὶ παρειάων ἁπαλάων
with-both hands from-cheeks tender
δάκρυ᾽ ὀμορξαμένην ἁδινὸν στοναχῆσαι ἐφείην,
tears wiping thick to-groan may-I-make
γνοῖεν δ᾽ ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι·
may-they-know and that indeed long I from-war have-ceased
μηδέ μ᾽ ἔρυκε μάχης φιλέουσά περ· οὐδέ με πείσεις."
nor me hold-back from-battle loving though nor me you-will-persuade
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
Him and answered then the-goddess Thetis silver-footed
"ναὶ δὴ ταῦτά γε, τέκνον, ἐτήτυμον οὐ κακόν ἐστι,
yes indeed these-things indeed child truly not evil is
τειρομένοις ἑτάροισιν ἀμυνέμεν αἰπὺν ὄλεθρον.
to-the-worn-out comrades to-ward-off sheer destruction

ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται
but you-know the-arms fair among the-Trojans are-held
χάλκεα μαρμαίροντα· τὰ μὲν κορυθαίολος Ἕκτωρ
bronze gleaming them indeed helmet-flashing Hector
αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται· οὐδέ ἕ φημι
himself having on-shoulders exults-in nor him I-say
δηρὸν ἐπαγλαϊεῖσθαι, ἐπεὶ φόνος ἐγγύθεν αὐτῷ.
long to-exult since slaughter near him
ἀλλὰ σὺ μὲν μή πω καταδύσεο μῶλον Ἄρηος,
but you indeed not yet enter the-toil of-Ares
πρίν γ' ἐμὲ δεῦρ' ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδηαι·
before indeed me hither come with eyes you-see
ἠῶθεν γὰρ νεῦμαι ἅμ' ἠελίῳ ἀνιόντι
at-dawn for I-will-return with the-sun rising
τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ἄνακτος."
arms fair bringing from Hephaestus lord
Ὣς ἄρα φωνήσασα πάλιν τράπεθ' υἷος ἑοῖο,
So then having-spoken back she-turned from-son her-own
καὶ στρεφθεῖσ' ἀλίῃσι κασιγνήτῃσι μετηύδα·
and turning to-her-sea sisters spoke
"ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον
you indeed now enter of-the-sea the-broad bosom
ὀψόμεναί τε γέρονθ' ἅλιον καὶ δώματα πατρός,
to-see both the-old-man of-the-sea and the-halls of-the-father
καί οἱ πάντ' ἀγορεύσατ'· ἐγὼ δ' ἐς μακρὸν Ὄλυμπον
and to-him all tell I and to high Olympus
εἶμι παρ' Ἥφαιστον κλυτοτέχνην, αἴ κ' ἐθέλῃσιν
go to Hephaestus famed-for-his-art if — he-will
υἱεῖ ἐμῷ δόμεναι κλυτὰ τεύχεα παμφανόωντα."
to-son my to-give famous arms all-gleaming

Ὣς ἔφαθ', αἱ δ' ὑπὸ κῦμα θαλάσσης αὐτίκ' ἔδυσαν·
So she-spoke they and under the-wave of-the-sea at-once plunged
ἡ δ' αὖτ' Οὔλυμπόνδε θεὰ Θέτις ἀργυρόπεζα
she and in-turn to-Olympus the-goddess Thetis silver-footed
ᾤϊεν, ὅφρα φίλῳ παιδὶ κλυτὰ τεύχε' ἐνείκαι.
went that to-dear son famous arms she-might-bring

XVIII.3 · THE SHOUT FROM THE DITCH

The Achaeans flee to the ships with the body, and Hector would have taken it, but Hera sends Iris secretly to Achilles to tell him to show himself. He has no armor, but Athena puts the aegis on his shoulders and sets a golden cloud and a flame about his head. He stands at the ditch and shouts three times, and the Trojans panic; twelve men die among their own chariots and spears. The Achaeans lay Patroclus on a bier, Achilles weeps over him, and Hera sends the sun down early.

Τὴν μὲν ἄρ' Οὔλυμπόνδε πόδες φέρον· αὐτὰρ Ἀχαιοὶ
Her indeed then to-Olympus the-feet carried but the-Achaeans
θεσπεσίῳ ἀλαλητῷ ὑφ' Ἕκτορος ἀνδροφόνοιο
with-wondrous clamor under Hector man-slaying
φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.
fleeing the-ships both and the-Hellespont reached
οὐδέ κε Πάτροκλόν περ ἐϋκνήμιδες Ἀχαιοὶ
nor — Patroclus indeed the-well-greaved Achaeans
ἐκ βελέων ἐρύσαντο νέκυν, θεράποντ' Ἀχιλῆος·
from the-missiles would-have-dragged the-corpse the-attendant of-Achilles
αὖτις γὰρ δὴ τόν γε κίχον λαός τε καὶ ἵπποι
again for indeed him indeed overtook host both and horses
Ἕκτωρ τε Πριάμοιο πάϊς, φλογὶ εἴκελος ἀλκήν.
Hector and of-Priam son to-flame like in-valor

τρὶς μέν μιν μετόπισθε ποδῶν λάβε φαίδιμος Ἕκτωρ
thrice indeed him behind by-the-feet seized glorious Hector
ἑλκέμεναι μεμαώς, μέγα δὲ Τρώεσσιν ὁμόκλα·
to-drag eager greatly and to-the-Trojans called
τρὶς δὲ δύ' Αἴαντες, θοῦριν ἐπιειμένοι ἀλκήν,
thrice and the-two Ajaxes furious clothed-in strength
νεκροῦ ἀπεστυφέλιξαν· ὁ δ' ἔμπεδον ἀλκὶ πεποιθὼς
from-the-corpse thrust-off he but steadily in-strength trusting
ἄλλοτ' ἐπαΐξασκε κατὰ μόθον, ἄλλοτε δ' αὖτε
at-one-time charged through the-press at-another and again
στάσκε μέγα ἰάχων· ὀπίσω δ' οὐ χάζετο πάμπαν.
stood greatly shouting backward but not gave-way at-all
ὡς δ' ἀπὸ σώματος οὔ τι λέοντ' αἴθωνα δύνανται
as and from a-carcass not at-all a-lion tawny can
ποιμένες ἄγραυλοι μέγα πεινάοντα δίεσθαι,
shepherds of-the-field greatly hungering drive-off
ὥς ῥα τὸν οὐκ ἐδύναντο δύω Αἴαντε κορυστὰ
so then him not could the-two Ajaxes helmeted
Ἕκτορα Πριαμίδην ἀπὸ νεκροῦ δειδίξασθαι.
Hector son-of-Priam from the-corpse frighten-away
καί νύ κεν εἴρυσσέν τε καὶ ἄσπετον ἤρατο κῦδος,
and now — he-would-have-dragged(-it) both and unspeakable would-have-won glory
εἰ μὴ Πηλεΐωνι ποδήνεμος ὠκέα Ἶρις
if not to-the-son-of-Peleus wind-footed swift Iris
ἄγγελος ἦλθε θέουσ' ἀπ' Ὀλύμπου θωρήσσεσθαι,
messenger came running from Olympus to-arm
κρύβδα Διὸς ἄλλων τε θεῶν· πρὸ γὰρ ἧκέ μιν Ἥρη.
secretly from-Zeus other and gods forth for sent her Hera
ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
near and standing words winged addressed

"ὄρσεο, Πηλεΐδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν·
rise son-of-Peleus of-all most-terrible of-men
Πατρόκλῳ ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνὴ
Patroclus defend of-whom for-the-sake strife dread
ἕστηκε πρὸ νεῶν· οἱ δ' ἀλλήλους ὀλέκουσιν
stands before the-ships they and each-other slay
οἱ μὲν ἀμυνόμενοι νέκυος πέρι τεθνηῶτος,
the-ones indeed defending the-corpse for dead
οἱ δὲ ἐρύσσασθαι ποτὶ Ἴλιον ἠνεμόεσσαν
the-others and to-drag to Ilium windy
Τρῶες ἐπιθύουσι· μάλιστα δὲ φαίδιμος Ἕκτωρ
the-Trojans press-on most and glorious Hector
ἑλκέμεναι μέμονεν· κεφαλὴν δέ ἑ θυμὸς ἄνωγε
to-drag is-eager the-head and him the-heart bids
πῆξαι ἀνὰ σκολόπεσσι ταμόνθ' ἁπαλῆς ἀπὸ δειρῆς.
to-fix on the-stakes cutting the-tender from neck
ἀλλ' ἄνα, μηδ' ἔτι κεῖσο· σέβας δέ σε θυμὸν ἱκέσθω
but up nor still lie awe and you the-heart let-reach
Πάτροκλον Τρῳῇσι κυσὶν μέλπηθρα γενέσθαι·
Patroclus for-the-Trojan dogs a-plaything to-become
σοὶ λώβη, αἴ κέν τι νέκυς ἠσχυμμένος ἔλθῃ."
to-you disgrace if — at-all the-corpse defiled comes
Τὴν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
Her and answered then swift-footed noble Achilles
"Ἶρι θεά, τίς γάρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκε;"
Iris goddess who for you of-the-gods to-me messenger sent
Τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
Him and in-turn addressed wind-footed swift Iris
"Ἥρη με προέηκε, Διὸς κυδρὴ παράκοιτις·
Hera me sent-forth of-Zeus glorious wife

οὐδ' οἶδε Κρονίδης ὑψίζυγος οὐδέ τις ἄλλος
nor knows the-son-of-Cronus high-throned nor any other
ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται."
of-the-immortals who Olympus snowy dwell-around
Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Her and answering addressed in-feet swift Achilles
"πῶς τ' ἄρ' ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχεα κεῖνοι·
how — then shall-I-go into the-toil they-have and arms those-men
μήτηρ δ' οὔ με φίλη πρίν γ' εἶα θωρήσσεσθαι,
mother and not me dear before indeed allowed to-arm
πρίν γ' αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι·
before indeed herself coming with eyes I-see
στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν ἔντεα καλά.
she-promised for Hephaestus from to-bring arms fair
ἄλλου δ' οὔ τευ οἶδα τεῦ ἂν κλυτὰ τεύχεα δύω,
of-another but not of-anyone I-know whose — famous arms I-could-put-on
εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο.
if not of-Ajax indeed the-shield of-the-son-of-Telamon
ἀλλὰ καὶ αὐτὸς ὅ, ἔλπομ', ἐνὶ πρώτοισιν ὁμιλεῖ,
but also himself he I-think among the-foremost consorts
ἔγχεϊ δηϊόων περὶ Πατρόκλοιο θανόντος."
with-spear slaying about Patroclus dead
Τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
Him and in-turn addressed wind-footed swift Iris
"εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι κλυτὰ τεύχε' ἔχονται·
well now also we know that your famous arms are-held
ἀλλ' αὔτως ἐπὶ τάφρον ἰὼν Τρώεσσι φάνηθι,
but so to the-ditch going to-the-Trojans show-yourself

αἴ κέ σ' ὑποδείσαντες ἀπόσχωνται πολέμοιο
if — you fearing they-may-hold-off from-war
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν
the-Trojans may-take-breath and warlike sons of-the-Achaeans
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο."
worn-out little and — the-breathing-space of-war
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις,
She indeed then so having-spoken departed in-feet swift Iris
αὐτὰρ Ἀχιλλεὺς ὦρτο Διῒ φίλος· ἀμφὶ δ' Ἀθήνη
but Achilles rose to-Zeus dear around and Athena
ὤμοις ἰφθίμοισι βάλ' αἰγίδα θυσσανόεσσαν,
on-shoulders mighty cast the-aegis tasseled
ἀμφὶ δέ οἱ κεφαλῇ νέφος ἔστεφε δῖα θεάων
around and his head a-cloud wreathed bright of-goddesses
χρύσεον, ἐκ δ' αὐτοῦ δαῖε φλόγα παμφανόωσαν.
golden from and it she-kindled a-flame all-gleaming
ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται,
as and when smoke going from a-town the-upper-air reaches
τηλόθεν ἐκ νήσου, τὴν δήϊοι ἀμφιμάχωνται,
far-off from an-island which foes fight-around
οἵ τε πανημέριοι στυγερῷ κρίνονται Ἄρηϊ
who — all-day in-hateful contend Ares
ἄστεος ἐκ σφετέρου· ἅμα δ' ἠελίῳ καταδύντι
the-town from their-own with and the-sun setting
πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ' αὐγὴ
beacons both blaze close-set on-high and the-gleam
γίγνεται ἀΐσσουσα περικτιόνεσσιν ἰδέσθαι,
arises darting for-the-dwellers-around to-see
αἴ κέν πως σὺν νηυσὶν ἄρεω ἀλκτῆρες ἵκωνται·
if — somehow with ships of-ruin averters may-come

ὣς ἀπ᾽ Ἀχιλλῆος κεφαλῆς σέλας αἰθέρ᾽ ἵκανε·
so from of-Achilles the-head the-glare the-upper-air reached
στῆ δ᾽ ἐπὶ τάφρον ἰὼν ἀπὸ τείχεος, οὐδ᾽ ἐς Ἀχαιοὺς
he-stood and at the-ditch going from the-wall nor among the-Achaeans
μίσγετο· μητρὸς γὰρ πυκινὴν ὠπίζετ᾽ ἐφετμήν.
mingled of-his-mother for the-close he-respected command
ἔνθα στὰς ἤϋσ᾽, ἀπάτερθε δὲ Παλλὰς Ἀθήνη
there standing he-shouted apart and Pallas Athena
φθέγξατ᾽· ἀτὰρ Τρώεσσιν ἐν ἄσπετον ὦρσε κυδοιμόν.
cried but among-the-Trojans in unspeakable roused confusion
ὡς δ᾽ ὅτ᾽ ἀριζήλη φωνή, ὅτε τ᾽ ἴαχε σάλπιγξ
as and when clear the-voice when — sounds a-trumpet
ἄστυ περιπλομένων δηΐων ὕπο θυμοραϊστέων,
a-town surrounding foes under life-destroying
ὣς τότ᾽ ἀριζήλη φωνὴ γένετ᾽ Αἰακίδαο.
so then clear the-voice was of-the-son-of-Aeacus
οἱ δ᾽ ὡς οὖν ἄϊον ὄπα χάλκεον Αἰακίδαο,
they and when then they-heard the-voice bronze of-the-son-of-Aeacus
πᾶσιν ὀρίνθη θυμός· ἀτὰρ καλλίτριχες ἵπποι
of-all was-stirred the-heart but the-fair-maned horses
ἂψ ὄχεα τρόπεον· ὄσσοντο γὰρ ἄλγεα θυμῷ.
back the-chariots turned they-foresaw for pains in-heart
ἡνίοχοι δ᾽ ἔκπληγεν, ἐπεὶ ἴδον ἀκάματον πῦρ
the-charioteers and were-stunned when they-saw the-untiring fire
δεινὸν ὑπὲρ κεφαλῆς μεγαθύμου Πηλεΐωνος
dread above the-head of-the-great-hearted son-of-Peleus
δαιόμενον· τὸ δὲ δαῖε θεὰ γλαυκῶπις Ἀθήνη.
blazing it and kindled the-goddess flashing-eyed Athena
τρὶς μὲν ὑπὲρ τάφρου μεγάλ᾽ ἴαχε δῖος Ἀχιλλεύς,
thrice indeed over the-ditch loudly shouted noble Achilles

τρὶς δὲ κυκήθησαν Τρῶες κλειτοί τ' ἐπίκουροι.
thrice and were-thrown-into-confusion the-Trojans famous and allies
ἔνθα δὲ καὶ τότ' ὄλοντο δυώδεκα φῶτες ἄριστοι
there and also then perished twelve men best
ἀμφὶ σφοῖς ὀχέεσσι καὶ ἔγχεσιν. αὐτὰρ Ἀχαιοὶ
around their-own chariots and spears but the-Achaeans
ἀσπασίως Πάτροκλον ὑπὲκ βελέων ἐρύσαντες
gladly Patroclus out-of the-missiles dragging
κάτθεσαν ἐν λεχέεσσι· φίλοι δ' ἀμφέσταν ἑταῖροι
laid on a-bier the-dear and stood-around comrades
μυρόμενοι· μετὰ δέ σφι ποδώκης εἵπετ' Ἀχιλλεὺς
lamenting among and them swift-footed followed Achilles
δάκρυα θερμὰ χέων, ἐπεὶ εἴσιδε πιστὸν ἑταῖρον
tears warm shedding when he-saw the-trusty comrade
κείμενον ἐν φέρτρῳ δεδαϊγμένον ὀξέϊ χαλκῷ,
lying on the-bier torn with-sharp bronze
τόν ῥ' ἤτοι μὲν ἔπεμπε σὺν ἵπποισιν καὶ ὄχεσφιν
whom then truly indeed he-sent with horses and chariot
ἐς πόλεμον, οὐδ' αὖτις ἐδέξατο νοστήσαντα.
into war nor back received returned
Ἠέλιον δ' ἀκάμαντα βοῶπις πότνια Ἥρη
the-Sun and untiring ox-eyed queenly Hera
πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι·
sent to of-Oceanus the-streams unwilling to-go
ἠέλιος μὲν ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοὶ
the-sun indeed set ceased and the-noble Achaeans
φυλόπιδος κρατερῆς καὶ ὁμοιΐου πολέμοιο.
from-strife mighty and from-impartial war

The Trojans hold an assembly standing, afraid to sit. Polydamas, born on the same night as Hector, urges them to go back into the city before dawn, since Achilles will now fight and they will be lucky to escape him. Hector angrily rejects this and orders the army to take supper and keep watch, and to attack the ships at dawn; he will not flee Achilles but face him. The Trojans cheer him, for Athena has taken away their wits.

Τρῶες δ' αὖθ' ἑτέρωθεν ἀπὸ κρατερῆς ὑσμίνης
the-Trojans and in-turn on-the-other-side from mighty combat
χωρήσαντες ἔλυσαν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
withdrawing loosed from-under the-chariots the-swift horses
ἐς δ' ἀγορὴν ἀγέροντο, πάρος δόρποιο μέδεσθαι.
into and assembly they-gathered before supper to-think-of
ὀρθῶν δ' ἑσταότων ἀγορὴ γένετ', οὐδέ τις ἔτλη
upright and standing the-assembly was nor any dared
ἕζεσθαι· πάντας γὰρ ἔχε τρόμος, οὕνεκ' Ἀχιλλεὺς
to-sit all for held trembling because Achilles
ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
had-appeared long and from-battle he-had-ceased grievous
τοῖσι δὲ Πουλυδάμας πεπνυμένος ἦρχ' ἀγορεύειν
them and Polydamas prudent began to-speak
Πανθοΐδης· ὁ γὰρ οἷος ὅρα πρόσσω καὶ ὀπίσσω·
son-of-Panthous he for alone saw forward and backward
Ἕκτορι δ' ἦεν ἑταῖρος, ἰῇ δ' ἐν νυκτὶ γένοντο,
to-Hector and he-was comrade in-one and in night they-were-born
ἀλλ' ὁ μὲν ἂρ μύθοισιν, ὁ δ' ἔγχεϊ πολλὸν ἐνίκα·
but the-one indeed then in-words the-other and with-spear far excelled
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
he to-them with-good-intent addressed-the-assembly and spoke-among(-them)

“ἀμφὶ μάλα φράζεσθε, φίλοι· κέλομαι γὰρ ἔγωγε
on-both-sides very consider friends I-bid for I-indeed
ἄστυδε νῦν ἰέναι, μὴ μίμνειν ἠῶ δῖαν
to-the-city now to-go not to-await the-dawn bright
ἐν πεδίῳ παρὰ νηυσίν· ἑκὰς δ’ ἀπὸ τείχεός εἰμεν.
in the-plain by the-ships far and from the-wall we-are
ὄφρα μὲν οὗτος ἀνὴρ Ἀγαμέμνονι μήνιε δίῳ,
while indeed this man with-Agamemnon was-wroth noble
τόφρα δὲ ῥηΐτεροι πολεμίζειν ἦσαν Ἀχαιοί·
so-long and easier to-fight were the-Achaeans
χαίρεσκον γὰρ ἔγωγε θοῇς ἐπὶ νηυσὶν ἰαύων
I-rejoiced for I-indeed swift by the-ships sleeping
ἐλπόμενος νῆας αἱρησέμεν ἀμφιελίσσας.
hoping the-ships to-take curved
νῦν δ’ αἰνῶς δείδοικα ποδώκεα Πηλεΐωνα·
now but terribly I-fear the-swift-footed son-of-Peleus
οἷος κείνου θυμὸς ὑπέρβιος, οὐκ ἐθελήσει
such his heart overbearing not he-will-wish
μίμνειν ἐν πεδίῳ, ὅθι περ Τρῶες καὶ Ἀχαιοὶ
to-stay in the-plain where indeed the-Trojans and Achaeans
ἐν μέσῳ ἀμφότεροι μένος Ἄρηος δατέονται,
in the-middle both the-might of-Ares share
ἀλλὰ περὶ πτόλιός τε μαχήσεται ἠδὲ γυναικῶν.
but for the-city both he-will-fight and the-women
ἀλλ’ ἴομεν προτὶ ἄστυ, πίθεσθέ μοι· ὧδε γὰρ ἔσται·
but let-us-go to the-town obey me thus for it-will-be

νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλεΐωνα
now indeed night has-stopped the-swift-footed son-of-Peleus
ἀμβροσίη· εἰ δ' ἄμμε κιχήσεται ἐνθάδ' ἐόντας
ambrosial if but us he-finds here being
αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτὸν
tomorrow rushing with arms well now some him
γνώσεται· ἀσπασίως γὰρ ἀφίξεται Ἴλιον ἱρὴν
will-know gladly for will-reach Ilium sacred
ὅς κε φύγῃ, πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται
who — escapes many and dogs and vultures will-eat
Τρώων· αἲ γὰρ δή μοι ἀπ' οὔατος ὧδε γένοιτο.
of-the-Trojans if-only for indeed to-me from the-ear thus may-it-be
εἰ δ' ἂν ἐμοῖς ἐπέεσσι πιθώμεθα κηδόμενοί περ,
if but — to-my words we-obey troubled though
νύκτα μὲν εἰν ἀγορῇ σθένος ἔξομεν, ἄστυ δὲ πύργοι
by-night indeed in assembly strength we-shall-keep the-town and towers
ὑψηλαί τε πύλαι σανίδες τ' ἐπὶ τῇς ἀραρυῖαι
high and gates doors and on them fitted
μακραὶ ἐΰξεστοι ἐζευγμέναι εἰρύσσονται·
long well-polished yoked will-guard
πρῲΐ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
early and at-dawn with arms armed
στησόμεθ' ἂμ πύργους· τῷ δ' ἄλγιον, αἴ κ' ἐθέλῃσιν
we-shall-stand along the-towers for-him and the-worse if — he-wishes
ἐλθὼν ἐκ νηῶν περὶ τείχεος ἄμμι μάχεσθαι.
coming from the-ships around the-wall with-us to-fight
ἂψ πάλιν εἶσ' ἐπὶ νῆας, ἐπεί κ' ἐριαύχενας ἵππους
back again he-will-go to the-ships when — the-high-necked horses
παντοίου δρόμου ἄσῃ ὑπὸ πτόλιν ἠλασκάζων·
of-every-kind-of running he-has-sated under the-city driving-about

εἴσω δ' οὔ μιν θυμὸς ἐφορμηθῆναι ἐάσει,
within but not him the-heart to-rush will-allow
οὐδέ ποτ' ἐκπέρσει· πρίν μιν κύνες ἀργοὶ ἔδονται."
nor ever will-he-sack before him dogs swift will-eat
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος Ἕκτωρ·
Him and then from-under looking addressed helmet-flashing Hector
"Πουλυδάμα, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις,
Polydamas you indeed no-longer to-me pleasing these-things speak
ὃς κέλεαι κατὰ ἄστυ ἀλήμεναι αὖτις ἰόντας.
who bid in the-town to-be-penned back going
ἦ οὔ πω κεκόρησθε ἐελμένοι ἔνδοθι πύργων;
or not yet are-you-sated penned within the-towers
πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπες ἄνθρωποι
before indeed for of-Priam the-city mortal men
πάντες μυθέσκοντο πολύχρυσον πολύχαλκον·
all spoke-of rich-in-gold rich-in-bronze
νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά,
now but indeed has-utterly-perished from-the-houses the-treasures fair
πολλὰ δὲ δὴ Φρυγίην καὶ Μῃονίην ἐρατεινὴν
many and indeed to-Phrygia and Maeonia lovely
κτήματα περνάμεν' ἵκει, ἐπεὶ μέγας ὠδύσατο Ζεύς.
possessions sold go since great was-angered Zeus
νῦν δ' ὅτε πέρ μοι ἔδωκε Κρόνου πάϊς ἀγκυλομήτεω
now but when indeed to-me has-given of-Cronus the-son crooked-counseled
κῦδος ἀρέσθ' ἐπὶ νηυσί, θαλάσσῃ τ' ἔλσαι Ἀχαιούς,
glory to-win at the-ships to-the-sea and to-pen the-Achaeans
νήπιε, μηκέτι ταῦτα νοήματα φαῖν' ἐνὶ δήμῳ·
fool no-longer these thoughts show among the-people
οὐ γάρ τις Τρώων ἐπιπείσεται· οὐ γὰρ ἐάσω.
not for any of-the-Trojans will-obey not for I-will-allow

ἀλλ᾽ ἄγεθ᾽ ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
but come as — I say let-us-obey all
νῦν μὲν δόρπον ἕλεσθε κατὰ στρατὸν ἐν τελέεσσι,
now indeed supper take through the-army in companies
καὶ φυλακῆς μνήσασθε, καὶ ἐγρήγορθε ἕκαστος·
and of-the-watch be-mindful and be-awake each
Τρώων δ᾽ ὃς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζει,
of-the-Trojans and whoever with-possessions overweeningly is-vexed
συλλέξας λαοῖσι δότω καταδημοβορῆσαι·
gathering to-the-hosts let-him-give to-consume-in-common
τῶν τινὰ βέλτερόν ἐστιν ἐπαυρέμεν ἤ περ Ἀχαιούς.
of-them some better it-is to-enjoy than indeed the-Achaeans
πρῶϊ δ᾽ ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
early and at-dawn with arms armed
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα.
the-ships by hollow let-us-rouse keen Ares
εἰ δ᾽ ἐτεὸν παρὰ ναῦφιν ἀνέστη δῖος Ἀχιλλεύς,
if but truly by the-ships has-risen noble Achilles
ἄλγιον, αἴ κ᾽ ἐθέλῃσι, τῷ ἔσσεται· οὔ μιν ἔγωγε
the-worse if — he-wishes for-him it-will-be not him I-indeed
φεύξομαι ἐκ πολέμοιο δυσηχέος, ἀλλὰ μάλ᾽ ἄντην
will-flee from war ill-sounding but right facing
στήσομαι, ἤ κε φέρῃσι μέγα κράτος, ἦ κε φεροίμην.
will-stand either — he-may-carry great victory or — I-may-carry
ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα.᾽᾽
common Enyalius and — the-one-about-to-kill kills
Ὣς Ἕκτωρ ἀγόρευ᾽, ἐπὶ δὲ Τρῶες κελάδησαν
So Hector spoke on and the-Trojans shouted
νήπιοι· ἐκ γάρ σφεων φρένας εἵλετο Παλλὰς Ἀθήνη.
fools out for of-them the-wits took Pallas Athena

Ἕκτορι μὲν γὰρ ἐπήνησαν κακὰ μητιόωντι,
Hector indeed for they-praised evil devising
Πουλυδάμαντι δ' ἄρ' οὔ τις, ὃς ἐσθλὴν φράζετο βουλήν.
Polydamas but then not any who good devised counsel

XVIII.5 · THE MOURNING FOR PATROCLUS

All night the Achaeans mourn Patroclus, and Achilles leads the lament like a lion whose cubs a hunter has taken. He recalls his promise to Menoetius to bring his son home, though both of them are fated to die at Troy. He vows not to bury Patroclus until he has brought Hector's armor and head, and twelve Trojan youths to kill at the pyre. They wash and anoint the body and cover it. Zeus tells Hera she has had her way in rousing Achilles, and she answers that she had every right.

δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατόν· αὐτὰρ Ἀχαιοὶ
supper then took through the-army but the-Achaeans
παννύχιοι Πάτροκλον ἀνεστενάχοντο γοῶντες.
all-night Patroclus mourned wailing
τοῖσι δὲ Πηλεΐδης ἀδινοῦ ἐξῆρχε γόοιο,
them and the-son-of-Peleus the-thick began lament
χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου,
hands on man-slaying laying on-the-breast of-his-comrade
πυκνὰ μάλα στενάχων ὥς τε λὶς ἠϋγένειος,
thick very groaning as — a-lion well-bearded
ᾧ ῥά θ' ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρπάσῃ ἀνὴρ
whose then — from-under the-cubs a-deer-hunter snatches a-man
ὕλης ἐκ πυκινῆς· ὁ δέ τ' ἄχνυται ὕστερος ἐλθών,
the-forest out-of dense he and — grieves later coming
πολλὰ δέ τ' ἄγκε' ἐπῆλθε μετ' ἀνέρος ἴχνι' ἐρευνῶν,
many and — glens he-goes-through after the-man the-tracks searching

εἴ ποθεν ἐξεύροι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ·
if from-somewhere he-might-find-him very for sharp anger seizes(-him)
ὣς ὁ βαρὺ στενάχων μετεφώνεε Μυρμιδόνεσσιν·
so he heavily groaning spoke-among the-Myrmidons
"ὤ πόποι, ἦ ῥ' ἄλιον ἔπος ἔκβαλον ἤματι κείνῳ
oh for-shame truly then vain word I-cast-forth on-day that
θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισι·
encouraging the-hero Menoetius in halls
φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν
I-said and to-him to Opoeis the-glorious son to-bring-back
Ἴλιον ἐκπέρσαντα, λαχόντα τε λῆΐδος αἴσαν.
Ilium having-sacked having-won and of-booty a-share
ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ·
but not Zeus for-men purposes all accomplishes
ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι
both for are-destined the-same earth to-redden
αὐτοῦ ἐνὶ Τροίῃ, ἐπεὶ οὐδ' ἐμὲ νοστήσαντα
here in Troy since not-even me returned
δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεὺς
will-receive in halls the-old-man horse-driving Peleus
οὐδὲ Θέτις μήτηρ, ἀλλ' αὐτοῦ γαῖα καθέξει.
nor Thetis mother but here the-earth will-hold
νῦν δ' ἐπεὶ οὖν, Πάτροκλε, σεῦ ὕστερος εἶμ' ὑπὸ γαῖαν,
now but since then Patroclus you after I-go under the-earth
οὔ σε πρὶν κτεριῶ, πρίν γ' Ἕκτορος ἐνθάδ' ἐνεῖκαι
not you before I-will-bury before indeed of-Hector here to-have-brought
τεύχεα καὶ κεφαλήν, μεγαθύμου σοῖο φονῆος·
the-arms and the-head of-great-hearted your slayer

δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσω
twelve and before the-pyre I-will-behead
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.
of-the-Trojans glorious children for-you slain angered
τόφρα δέ μοι παρὰ νηυσὶ κορωνίσι κείσεαι αὕτως,
meanwhile and for-me by the-ships curved you-will-lie so
ἀμφὶ δὲ σὲ Τρῳαὶ καὶ Δαρδανίδες βαθύκολποι
around and you Trojan-women and Dardanian-women deep-bosomed
κλαύσονται νύκτας τε καὶ ἤματα δάκρυ χέουσαι,
will-weep nights both and days tears shedding
τὰς αὐτοὶ καμόμεσθα βίηφί τε δουρί τε μακρῷ
whom ourselves toiled-for by-might both spear and long
πιείρας πέρθοντε πόλεις μερόπων ἀνθρώπων."
rich sacking cities of-mortal men
Ὣς εἰπὼν ἑτάροισιν ἐκέκλετο δῖος Ἀχιλλεὺς
So having-spoken to-his-comrades called noble Achilles
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα τάχιστα
around the-fire to-set a-tripod great so-that most-quickly
Πάτροκλον λούσειαν ἄπο βρότον αἱματόεντα.
Patroclus they-might-wash from the-gore bloody
οἱ δὲ λοετροχόον τρίποδ' ἵστασαν ἐν πυρὶ κηλέῳ,
they and the-bath-pouring tripod set on fire burning
ἐν δ' ἄρ' ὕδωρ ἔχεαν, ὑπὸ δὲ ξύλα δαῖον ἑλόντες.
in and then water they-poured under and wood kindled taking
γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ·
the-belly indeed of-the-tripod fire beset was-warmed and the-water
αὐτὰρ ἐπεὶ δὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
but when indeed boiled the-water in gleaming bronze
καὶ τότε δὴ λοῦσάν τε καὶ ἤλειψαν λίπ' ἐλαίῳ,
and then indeed they-washed both and anointed richly with-oil

ἐν δ᾽ ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο·
in and the-wounds they-filled with-ointment nine-years-old
ἐν λεχέεσσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν
on bier and laying with-fine-linen with-a-cloth covered(-him)
ἐς πόδας ἐκ κεφαλῆς, καθύπερθε δὲ φάρεϊ λευκῷ.
to feet from head above and with-a-mantle white
παννύχιοι μὲν ἔπειτα πόδας ταχὺν ἀμφ᾽ Ἀχιλῆα
all-night indeed then in-feet swift around Achilles
Μυρμιδόνες Πάτροκλον ἀνεστενάχοντο γοῶντες·
the-Myrmidons Patroclus mourned wailing
Ζεὺς δ᾽ Ἥρην προσέειπε κασιγνήτην ἄλοχόν τε·
Zeus and Hera addressed sister wife and
“ἔπρηξας καὶ ἔπειτα, βοῶπις πότνια Ἥρη,
you-have-accomplished and then ox-eyed queenly Hera
ἀνστήσασ᾽ Ἀχιλῆα πόδας ταχύν· ἦ ῥά νυ σεῖο
rousing Achilles in-feet swift truly then now of-you
ἐξ αὐτῆς ἐγένοντο κάρη κομόωντες Ἀχαιοί.”
from yourself were-born on-head long-haired Achaeans
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοῶπις πότνια Ἥρη·
Him and answered then ox-eyed queenly Hera
“αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες.
most-dread son-of-Cronus what-sort-of the word have-you-spoken
καὶ μὲν δή πού τις μέλλει βροτὸς ἀνδρὶ τελέσσαι,
and indeed truly surely any is-to a-mortal for-a-man to-accomplish
ὅς περ θνητός τ᾽ ἐστὶ καὶ οὐ τόσα μήδεα οἶδε·
who indeed mortal and is and not so-many counsels knows
πῶς δὴ ἔγωγ᾽, ἥ φημι θεάων ἔμμεν ἀρίστη,
how indeed I-indeed who say of-goddesses to-be best

ἀμφότερον, γενεῇ τε καὶ οὕνεκα σὴ παράκοιτις
both by-birth both and because your wife
κέκλημαι, σὺ δὲ πᾶσι μετ᾽ ἀθανάτοισιν ἀνάσσεις,
am-called you and all among immortals rule
οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι;"
not ought against-the-Trojans being-angered evils to-stitch
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
So they indeed such-things to each-other spoke

XVIII.6 · THETIS VISITS HEPHAESTUS

Thetis comes to the bronze house of Hephaestus, where he is making self-moving tripods. Charis his wife welcomes her, and Hephaestus remembers how Thetis and Eurynome saved him when his mother threw him from heaven. He puts away his tools and comes with golden handmaids that walk and think. Thetis tells of her marriage to a mortal, her son's short life, the quarrel, and Patroclus' death, and she asks for new armor. Hephaestus promises armor that will amaze all who see it.

Ἡφαίστου δ᾽ ἵκανε δόμον Θέτις ἀργυρόπεζα
of-Hephaestus and reached the-house Thetis silver-footed
ἄφθιτον ἀστερόεντα, μεταπρεπέ᾽ ἀθανάτοισι,
imperishable starry conspicuous among-the-immortals
χάλκεον, ὅν ῥ᾽ αὐτὸς ποιήσατο κυλλοποδίων.
bronze which then himself made the-lame-god
τὸν δ᾽ εὗρ᾽ ἱδρώοντα ἑλισσόμενον περὶ φύσας
him and she-found sweating turning about the-bellows
σπεύδοντα· τρίποδας γὰρ ἐείκοσι πάντας ἔτευχεν
hastening tripods for twenty all he-was-making
ἑστάμεναι περὶ τοῖχον ἐϋσταθέος μεγάροιο,
to-stand around the-wall of-the-well-built hall

χρύσεα δέ σφ' ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν,
golden and them under wheels to-each base he-set
ὄφρα οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα
that for-him of-themselves the-divine might-enter gathering
ἠδ' αὖτις πρὸς δῶμα νεοίατο, θαῦμα ἰδέσθαι.
and back to the-house might-return a-wonder to-see
οἱ δ' ἤτοι τόσσον μὲν ἔχον τέλος, οὔατα δ' οὔ πω
they and truly so-far indeed had completion the-handles but not yet
δαιδάλεα προσέκειτο· τά ῥ' ἤρτυε, κόπτε δὲ δεσμούς.
cunningly-wrought were-attached which then he-was-fitting he-hammered and the-rivets
ὄφρ' ὅ γε ταῦτα πονεῖτο ἰδυίῃσι πραπίδεσσι,
while he indeed these-things toiled-at with-knowing wits
τόφρα οἱ ἐγγύθεν ἦλθε θεὰ Θέτις ἀργυρόπεζα.
so-long to-him near came the-goddess Thetis silver-footed
τὴν δὲ ἴδε προμολοῦσα Χάρις λιπαροκρήδεμνος
her and saw coming-forward Charis with-shining-veil
καλή, τὴν ὤπυιε περικλυτὸς ἀμφιγυήεις·
fair whom had-wed the-very-famous lame-one
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
in — then her she-clung to-hand word and spoke out and named(-her)
"τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ
why Thetis long-robed do-you-come our house
αἰδοίη τε φίλη τε; πάρος γε μὲν οὔ τι θαμίζεις.
revered both dear and before indeed indeed not at-all you-come-often
ἀλλ' ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θείω."
but follow further that for-you beside hospitality I-may-set

Ὣς ἄρα φωνήσασα πρόσω ἄγε δῖα θεάων.
So then having-spoken forward led bright of-goddesses
τὴν μὲν ἔπειτα καθεῖσεν ἐπὶ θρόνου ἀργυροήλου
her indeed then she-seated on a-chair silver-studded
καλοῦ δαιδαλέου· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·
fair cunningly-wrought under and a-footstool for-the-feet was
κέκλετο δ' Ἥφαιστον κλυτοτέχνην εἶπέ τε μῦθον·
she-called and Hephaestus famed-for-his-art said and word
"Ἥφαιστε, πρόμολ' ὧδε· Θέτις νύ τι σεῖο χατίζει."
Hephaestus come-forth here Thetis now somewhat you needs
τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς ἀμφιγυήεις·
her and answered then the-very-famous lame-one
"ἦ ῥά νύ μοι δεινή τε καὶ αἰδοίη θεὸς ἔνδον,
truly then now for-me dread both and revered goddess inside
ἥ μ' ἐσάωσ', ὅτε μ' ἄλγος ἀφίκετο τῆλε πεσόντα
who me saved when me pain reached far fallen
μητρὸς ἐμῆς ἰότητι κυνώπιδος, ἥ μ' ἐθέλησε
of-mother my by-the-will dog-eyed who me wished
κρύψαι χωλὸν ἐόντα· τότ' ἂν πάθον ἄλγεα θυμῷ,
to-hide lame being then — I-would-have-suffered pains in-heart
εἰ μή μ' Εὐρυνόμη τε Θέτις θ' ὑπεδέξατο κόλπῳ,
if not me Eurynome both Thetis and received in-her-bosom
Εὐρυνόμη, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο.
Eurynome daughter of-back-flowing Oceanus
τῇσι παρ' εἰνάετες χάλκευον δαίδαλα πολλά,
whom beside nine-years I-forged cunning-works many

πόρπας τε γναμπτάς θ' ἕλικας κάλυκάς τε καὶ ὅρμους
brooches both curved and spirals cups both and necklaces
ἐν σπῆϊ γλαφυρῷ· περὶ δὲ ῥόος Ὠκεανοῖο
in a-cave hollow around and the-stream of-Oceanus
ἀφρῷ μορμύρων ῥέεν ἄσπετος· οὐδέ τις ἄλλος
with-foam murmuring flowed boundless nor any other
ᾔδεεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων,
knew neither of-gods nor of-mortal men
ἀλλὰ Θέτις τε καὶ Εὐρυνόμη ἴσαν, αἵ μ' ἐσάωσαν.
but Thetis both and Eurynome knew who me saved
ἦ νῦν ἡμέτερον δόμον ἵκει· τῷ με μάλα χρεὼ
she now our house comes therefore me very need
πάντα Θέτι καλλιπλοκάμῳ ζῳάγρια τίνειν.
all to-Thetis fair-tressed life-ransom to-pay
ἀλλὰ σὺ μὲν νῦν οἱ παράθες ξεινήϊα καλά,
but you indeed now for-her set-beside gifts-of-hospitality fair
ὄφρ' ἂν ἐγὼ φύσας ἀποθείομαι ὅπλα τε πάντα."
while — I the-bellows put-away tools and all
Ἦ, καὶ ἀπ' ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέστη
He-spoke and from the-anvil-block the-monster panting rose
χωλεύων· ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
limping under and the-shins moved slender
φύσας μέν ῥ' ἀπάνευθε τίθει πυρός, ὅπλα τε πάντα
the-bellows indeed then away set from-the-fire tools and all
λάρνακ' ἐς ἀργυρέην συλλέξατο, τοῖς ἐπονεῖτο·
a-chest into silver gathered with-which he-worked
σπόγγῳ δ' ἀμφὶ πρόσωπα καὶ ἄμφω χεῖρ' ἀπομόργνυ
with-a-sponge and about the-face and both hands he-wiped
αὐχένα τε στιβαρὸν καὶ στήθεα λαχνήεντα,
neck and stout and chest shaggy

δῦ δὲ χιτῶν', ἕλε δὲ σκῆπτρον παχύ, βῆ δὲ θύραζε
he-put-on and a-tunic took and a-staff thick went and to-the-door
χωλεύων· ὑπὸ δ' ἀμφίπολοι ῥώοντο ἄνακτι
limping under and handmaids moved for-their-lord
χρύσειαι, ζωῇσι νεήνισιν εἰοικυῖαι.
golden to-living maidens like
τῇς ἐν μὲν νόος ἐστὶ μετὰ φρεσίν, ἐν δὲ καὶ αὐδὴ
in-whom in indeed mind is in wits in and also voice
καὶ σθένος, ἀθανάτων δὲ θεῶν ἄπο ἔργα ἴσασιν.
and strength the-immortal and gods from works they-know
αἱ μὲν ὕπαιθα ἄνακτος ἐποίπνυον· αὐτὰρ ὁ ἔρρων
they indeed beneath the-lord bustled but he limping
πλησίον, ἔνθα Θέτις περ, ἐπὶ θρόνου ἷζε φαεινοῦ,
near where Thetis indeed on a-chair sat shining
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
in — then her he-clung to-hand word and spoke out and named(-her)
"τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ
why Thetis long-robed do-you-come our house
αἰδοίη τε φίλη τε; πάρος γε μὲν οὔ τι θαμίζεις.
revered both dear and before indeed indeed not at-all you-come-often
αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
say what any you-intend to-accomplish(-it) and me the-heart bids
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν."
if I-can accomplish(-it) indeed and if accomplishable it-is
Τὸν δ' ἠμείβετ' ἔπειτα Θέτις κατὰ δάκρυ χέουσα·
Him and answered then Thetis down a-tear shedding
"Ἥφαιστ', ἦ ἄρα δή τις, ὅσαι θεαί εἰσ' ἐν Ὀλύμπῳ,
Hephaestus truly then indeed any as-many-as goddesses are in Olympus
τοσσάδ' ἐνὶ φρεσὶν ἧσιν ἀνέσχετο κήδεα λυγρά,
so-many in mind her endured sorrows grievous

ὅσσ᾽ ἐμοὶ ἐκ πασέων Κρονίδης Ζεὺς ἄλγε᾽ ἔδωκεν;
as-many-as to-me out-of all son-of-Cronus Zeus pains has-given
ἐκ μέν μ᾽ ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν,
out indeed me the-other sea-goddesses to-a-man he-subdued
Αἰακίδῃ Πηλῆϊ, καὶ ἔτλην ἀνέρος εὐνὴν
son-of-Aeacus Peleus and I-endured of-a-man the-bed
πολλὰ μάλ᾽ οὐκ ἐθέλουσα. ὁ μὲν δὴ γήραϊ λυγρῷ
much very not willing he indeed truly by-old-age grievous
κεῖται ἐνὶ μεγάροις ἀρημένος, ἄλλα δέ μοι νῦν·
lies in halls worn-out others and for-me now
υἱὸν ἐπεί μοι δῶκε γενέσθαι τε τραφέμεν τε,
a-son since to-me he-gave to-be-born both to-be-reared and
ἔξοχον ἡρώων· ὁ δ᾽ ἀνέδραμεν ἔρνεϊ ἶσος·
outstanding of-heroes he and shot-up to-a-sapling like
τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὣς γουνῷ ἀλωῆς,
him indeed I having-reared a-plant like on-the-slope of-an-orchard
νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω
in-the-ships sent-forth curved Ilium into
Τρωσὶ μαχησόμενον· τὸν δ᾽ οὐχ ὑποδέξομαι αὖτις
the-Trojans to-fight him but not I-shall-receive back
οἴκαδε νοστήσαντα δόμον Πηλήϊον εἴσω.
homeward returned the-house Peleian into
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
while and for-me he-lives and sees the-light of-the-sun
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
he-grieves nor at-all him can-I help going
κούρην ἣν ἄρα οἱ γέρας ἔξελον υἷες Ἀχαιῶν,
the-girl whom then for-him as-prize picked-out the-sons of-the-Achaeans
τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων.
her back from hands took lord Agamemnon

ἤτοι ὁ τῆς ἀχέων φρένας ἔφθιεν· αὐτὰρ Ἀχαιοὺς
truly he for-her grieving in-wits wasted but the-Achaeans
Τρῶες ἐπὶ πρύμνῃσιν ἐείλεον, οὐδὲ θύραζε
the-Trojans at the-sterns penned nor out-of-doors
εἴων ἐξιέναι· τὸν δὲ λίσσοντο γέροντες
allowed to-go-out him and begged the-elders
Ἀργείων, καὶ πολλὰ περικλυτὰ δῶρ' ὀνόμαζον.
of-the-Argives and many famous gifts named
ἔνθ' αὐτὸς μὲν ἔπειτ' ἠναίνετο λοιγὸν ἀμῦναι,
then himself indeed then refused ruin to-ward-off
αὐτὰρ ὁ Πάτροκλον περὶ μὲν τὰ ἃ τεύχεα ἕσσε,
but he Patroclus around indeed the his arms clothed
πέμπε δέ μιν πόλεμόνδε, πολὺν δ' ἅμα λαὸν ὄπασσε.
sent and him to-war many and with host gave
πᾶν δ' ἦμαρ μάρναντο περὶ Σκαιῇσι πύλῃσι·
all and day they-fought about the-Scaean gates
καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων
and now — that-same-day the-city they-would-have-sacked if not Apollo
πολλὰ κακὰ ῥέξαντα Μενοιτίου ἄλκιμον υἱὸν
many evils having-done of-Menoetius the-valiant son
ἔκταν' ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκε.
had-killed among the-champions and to-Hector glory gave
τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλῃσθα
therefore now the your knees I-come-to if — you-are-willing
υἱεῖ ἐμῷ ὠκυμόρῳ δόμεν ἀσπίδα καὶ τρυφάλειαν
to-son my swift-fated to-give a-shield and helmet
καὶ καλὰς κνημῖδας ἐπισφυρίοις ἀραρυίας,
and fair greaves ankle-pieces fitted

καὶ θώρηχ᾽· ὃ γὰρ ἦν οἱ ἀπώλεσε πιστὸς ἑταῖρος
and a-corselet which for was his lost the-trusty comrade
Τρωσὶ δαμείς· ὁ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων.᾽᾽
by-the-Trojans subdued he and lies on the-ground in-heart grieving
Τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα περικλυτὸς ἀμφιγυήεις·
Her and answered then the-very-famous lame-one
“θάρσει· μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
take-heart not to-you these-things in mind your let-trouble
αἲ γάρ μιν θανάτοιο δυσηχέος ὥδε δυναίμην
if-only for him from-death ill-sounding so could-I
νόσφιν ἀποκρύψαι, ὅτε μιν μόρος αἰνὸς ἱκάνοι,
away hide when him fate dread should-reach
ὥς οἱ τεύχεα καλὰ παρέσσεται, οἷά τις αὖτε
as for-him arms fair will-be-at-hand such-as some in-turn
ἀνθρώπων πολέων θαυμάσσεται, ὅς κεν ἴδηται.᾽᾽
of-men many will-marvel-at who — sees

XVIII.7 · THE SHIELD: THE TWO CITIES

Hephaestus makes the shield. On it he puts the earth, the sky, the sea, the sun, the moon, and the stars, and two cities: in one, weddings and a lawsuit over a man's blood price; around the other, two armies encamped, an ambush, and a battle in which Strife, Uproar, and Doom move.

Ὣς εἰπὼν τὴν μὲν λίπεν αὐτοῦ, βῆ δ᾽ ἐπὶ φύσας·
So having-spoken her indeed he-left there went and to the-bellows
τὰς δ᾽ ἐς πῦρ ἔτρεψε κέλευσέ τε ἐργάζεσθαι.
them and to the-fire he-turned bade and to-work
φῦσαι δ᾽ ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων,
the-bellows and in the-crucibles twenty all blew

παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι,
of-every-kind well-kindling blast sending-forth
ἄλλοτε μὲν σπεύδοντι παρέμμεναι, ἄλλοτε δ' αὖτε,
at-one-time indeed for-him-hastening to-be-at-hand at-another and again
ὅππως Ἥφαιστός τ' ἐθέλοι καὶ ἔργον ἄνοιτο.
as Hephaestus both wished and the-work be-accomplished
χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα κασσίτερόν τε
bronze and into fire he-cast untiring tin and
καὶ χρυσὸν τιμῆντα καὶ ἄργυρον· αὐτὰρ ἔπειτα
and gold precious and silver but then
θῆκεν ἐν ἀκμοθέτῳ μέγαν ἄκμονα, γέντο δὲ χειρὶ
he-set on the-anvil-block a-great anvil took and in-hand
ῥαιστῆρα κρατερήν, ἑτέρηφι δὲ γέντο πυράγρην.
a-hammer strong with-the-other and he-took tongs

Ποίει δὲ πρώτιστα σάκος μέγα τε στιβαρόν τε
He-made and first a-shield great both stout and
πάντοσε δαιδάλλων, περὶ δ' ἄντυγα βάλλε φαεινὴν
on-all-sides adorning around and a-rim he-cast shining
τρίπλακα μαρμαρέην, ἐκ δ' ἀργύρεον τελαμῶνα.
triple glittering from and silver a-strap
πέντε δ' ἄρ' αὐτοῦ ἔσαν σάκεος πτύχες· αὐτὰρ ἐν αὐτῷ
five and then of-it were of-the-shield the-layers but on it
ποίει δαίδαλα πολλὰ ἰδυίῃσι πραπίδεσσιν.
he-made cunning-works many with-knowing wits

Ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ θάλασσαν,
In indeed earth he-wrought in and heaven in and sea
ἠέλιόν τ' ἀκάμαντα σελήνην τε πλήθουσαν,
the-sun and untiring the-moon and full
ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται,
in and the constellations all which — heaven is-crowned-with

Πληϊάδας θ' Ὑάδας τε τό τε σθένος Ὠρίωνος
Pleiades both Hyades and the and might of-Orion
Ἄρκτόν θ', ἣν καὶ Ἅμαξαν ἐπίκλησιν καλέουσιν,
the-Bear and which also Wain by-name they-call
ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει,
which — there turns and — Orion watches
οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.
alone and without-share is of-the-baths of-Oceanus
Ἐν δὲ δύω ποίησε πόλεις μερόπων ἀνθρώπων
In and two he-made cities of-mortal men
καλάς. ἐν τῇ μέν ῥα γάμοι τ' ἔσαν εἰλαπίναι τε,
fair in the-one indeed then weddings and were feasts and
νύμφας δ' ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων
brides and from the-chambers torches under shining
ἠγίνεον ἀνὰ ἄστυ, πολὺς δ' ὑμέναιος ὀρώρει·
they-led through the-town loud and the-wedding-song arose
κοῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσιν
young-men and dancers whirled among and then them
αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον· αἱ δὲ γυναῖκες
pipes lyres and the-sound kept the and women
ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη.
standing marveled at doorways each
λαοὶ δ' εἰν ἀγορῇ ἔσαν ἀθρόοι· ἔνθα δὲ νεῖκος
the-people and in assembly were thronging there and a-quarrel
ὠρώρει, δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
had-arisen two and men quarreled for-the-sake-of the-blood-price
ἀνδρὸς ἀποφθιμένου· ὁ μὲν εὔχετο πάντ' ἀποδοῦναι
of-a-man dead the-one indeed claimed all to-have-paid
δήμῳ πιφαύσκων, ὁ δ' ἀναίνετο μηδὲν ἑλέσθαι·
to-the-people declaring the-other and refused anything to-have-received

ἄμφω δ᾽ ἱέσθην ἐπὶ ἴστορι πεῖραρ ἑλέσθαι.
both and were-eager before a-judge an-end to-get
λαοὶ δ᾽ ἀμφοτέροισιν ἐπήπυον, ἀμφὶς ἀρωγοί·
the-people and for-both shouted on-both-sides supporters
κήρυκες δ᾽ ἄρα λαὸν ἐρήτυον· οἱ δὲ γέροντες
the-heralds and then the-people restrained the and elders
ἥατ᾽ ἐπὶ ξεστοῖσι λίθοις ἱερῷ ἐνὶ κύκλῳ,
sat on polished stones sacred in circle
σκῆπτρα δὲ κηρύκων ἐν χέρσ᾽ ἔχον ἠεροφώνων·
staffs and of-the-heralds in hands held loud-voiced
τοῖσιν ἔπειτ᾽ ἤϊσσον, ἀμοιβηδὶς δὲ δίκαζον.
with-them then they-rose in-turn and they-judged
κεῖτο δ᾽ ἄρ᾽ ἐν μέσσοισι δύω χρυσοῖο τάλαντα,
lay and then in the-middle two of-gold talents
τῷ δόμεν ὃς μετὰ τοῖσι δίκην ἰθύντατα εἴποι.
to-him to-give who among them judgment most-straightly should-speak
Τὴν δ᾽ ἑτέρην πόλιν ἀμφὶ δύω στρατοὶ ἧατο λαῶν
The and other city around two armies sat of-men
τεύχεσι λαμπόμενοι· δίχα δέ σφισιν ἤνδανε βουλή,
in-arms shining two-ways and to-them pleased the-plan
ἠὲ διαπραθέειν ἢ ἄνδιχα πάντα δάσασθαι,
either to-sack-utterly or in-two all to-divide
κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἔεργεν·
the-wealth as-much-as citadel lovely within held
οἱ δ᾽ οὔ πω πείθοντο, λόχῳ δ᾽ ὑπεθωρήσσοντο.
they but not yet obeyed for-ambush and armed-secretly
τεῖχος μέν ῥ᾽ ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα
the-wall indeed then wives both dear and little children
ῥύατ᾽ ἐφεσταότες, μετὰ δ᾽ ἀνέρες οὓς ἔχε γῆρας·
guarded standing-on among and the-men whom held old-age

οἱ δ' ἴσαν· ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη,
they and went led and then them Ares and Pallas Athena
ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἕσθην,
both golden golden and garments wore
καλὼ καὶ μεγάλω σὺν τεύχεσιν, ὥς τε θεώ περ
fair and great with arms as — gods indeed
ἀμφὶς ἀριζήλω· λαοὶ δ' ὑπολίζονες ἦσαν.
on-all-sides conspicuous the-people and smaller were
οἱ δ' ὅτε δή ῥ' ἵκανον ὅθι σφίσιν εἶκε λοχῆσαι,
they and when indeed then they-reached where for-them it-seemed-good to-ambush
ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσιν,
in a-river where — a-watering-place was for-all cattle
ἔνθ' ἄρα τοί γ' ἵζοντ' εἰλυμένοι αἴθοπι χαλκῷ.
there then they indeed sat wrapped in-gleaming bronze
τοῖσι δ' ἔπειτ' ἀπάνευθε δύω σκοποὶ ἧατο λαῶν,
for-them and then apart two scouts sat of-the-host
δέγμενοι ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικας βοῦς.
waiting when the-flocks they-might-see and crooked-horned cattle
οἱ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆες
they and soon came-forward two and with followed herdsmen
τερπόμενοι σύριγξι· δόλον δ' οὔ τι προνόησαν.
delighting with-pipes the-trick and not at-all they-foresaw
οἱ μὲν τὰ προϊδόντες ἐπέδραμον, ὦκα δ' ἔπειτα
they indeed these-things seeing-before ran-at quickly and then
τάμνοντ' ἀμφὶ βοῶν ἀγέλας καὶ πώεα καλὰ
cut-off around of-cattle herds and flocks fair
ἀργεννέων οἰῶν, κτεῖνον δ' ἐπὶ μηλοβοτῆρας.
of-white sheep killed and in-addition the-shepherds

οἱ δ' ὡς οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουσὶν
they and when then they-heard great clamor by the-cattle
εἰράων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων
the-assemblies before sitting at-once on horses
βάντες ἀερσιπόδων μετεκίαθον, αἶψα δ' ἵκοντο.
going high-stepping pursued quickly and they-arrived
στησάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθας,
taking-their-stand and they-fought battle of-the-river by the-banks
βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
hit and each-other with-bronze-tipped spears
ἐν δ' Ἔρις ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ Κήρ,
in and Strife in and Uproar consorted in and deadly Doom
ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
one alive holding newly-wounded another unwounded
ἄλλον τεθνηῶτα κατὰ μόθον ἕλκε ποδοῖιν·
another dead through the-press dragged by-the-feet
εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν.
the-garment and she-had around shoulders red with-blood of-men
ὡμίλευν δ' ὥς τε ζωοὶ βροτοὶ ἠδ' ἐμάχοντο,
they-consorted and as — living mortals and fought
νεκρούς τ' ἀλλήλων ἕρυον κατατεθνηῶτας.
corpses and of-each-other they-dragged dead

On the shield he puts a field being plowed, a king's estate with reapers, a vineyard with a boy singing the Linus song, a herd of cattle attacked by two lions, a pasture with sheep, and a dancing floor like the one Daedalus made for Ariadne, with young men and girls dancing. Around the rim runs the river Ocean. He makes a corselet, a helmet, and greaves, and gives them to Thetis, who carries them down from Olympus like a hawk.

Ἐν δ' ἐτίθει νειὸν μαλακήν, πίειραν ἄρουραν,
In and he-set fallow-land soft rich plowland
εὐρεῖαν τρίπολον· πολλοὶ δ' ἀροτῆρες ἐν αὐτῇ
broad thrice-plowed many and plowmen in it
ζεύγεα δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα.
teams wheeling drove this-way and that
οἱ δ' ὁπότε στρέψαντες ἱκοίατο τέλσον ἀρούρης,
they and whenever turning they-reached the-headland of-the-field
τοῖσι δ' ἔπειτ' ἐν χερσὶ δέπας μελιηδέος οἴνου
to-them and then in hands a-cup of-honey-sweet wine
δόσκεν ἀνὴρ ἐπιών· τοὶ δὲ στρέψασκον ἀν' ὄγμους,
would-give a-man coming-up they and would-turn along the-furrows
ἱέμενοι νειοῖο βαθείης τέλσον ἱκέσθαι.
eager of-the-fallow deep the-headland to-reach
ἡ δὲ μελαίνετ' ὄπισθεν, ἀρηρομένῃ δὲ ἐώκει,
it and grew-black behind plowed and it-was-like
χρυσείη περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμα τέτυκτο.
golden though being that indeed beyond wonder was-wrought
Ἐν δ' ἐτίθει τέμενος βασιλήϊον· ἔνθα δ' ἔριθοι
In and he-set a-domain royal there and laborers
ἤμων ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες.
reaped sharp sickles in hands holding

δράγματα δ᾽ ἄλλα μετ᾽ ὄγμον ἐπήτριμα πῖπτον ἔραζε,
the-handfuls and some along the-swath thick fell to-the-ground
ἄλλα δ᾽ ἀμαλλοδετῆρες ἐν ἐλλεδανοῖσι δέοντο.
others and the-sheaf-binders in bands bound
τρεῖς δ᾽ ἄρ᾽ ἀμαλλοδετῆρες ἐφέστασαν· αὐτὰρ ὄπισθε
three and then sheaf-binders stood-over but behind
παῖδες δραγμεύοντες, ἐν ἀγκαλίδεσσι φέροντες,
boys gathering-handfuls in arms carrying
ἀσπερχὲς πάρεχον· βασιλεὺς δ᾽ ἐν τοῖσι σιωπῇ
unceasingly supplied the-king and among them in-silence
σκῆπτρον ἔχων ἑστήκει ἐπ᾽ ὄγμου γηθόσυνος κῆρ.
staff holding stood at the-swath rejoicing in-heart
κήρυκες δ᾽ ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο,
heralds and apart under an-oak a-feast prepared
βοῦν δ᾽ ἱερεύσαντες μέγαν ἄμφεπον· αἱ δὲ γυναῖκες
an-ox and having-sacrificed great they-busied-about the and women
δεῖπνον ἐρίθοισιν λεύκ᾽ ἄλφιτα πολλὰ πάλυνον.
a-meal for-the-laborers white barley much sprinkled
Ἐν δὲ τίθει σταφυλῇσι μέγα βρίθουσαν ἀλωὴν
In and he-set with-grapes greatly laden a-vineyard
καλὴν χρυσείην· μέλανες δ᾽ ἀνὰ βότρυες ἦσαν,
fair golden black and along the-clusters were
ἑστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσιν.
it-stood and on-poles throughout silver
ἀμφὶ δὲ κυανέην κάπετον, περὶ δ᾽ ἕρκος ἔλασσε
around and a-dark trench around and a-fence he-drove
κασσιτέρου· μία δ᾽ οἴη ἀταρπιτὸς ἦεν ἐπ᾽ αὐτήν,
of-tin one and only path was to it
τῇ νίσοντο φορῆες, ὅτε τρυγόῳεν ἀλωήν.
by-which went the-carriers when they-gathered the-vintage

παρθενικαὶ δὲ καὶ ἠΐθεοι ἀταλὰ φρονέοντες
maidens and and youths tender minded
πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν.
woven in baskets carried the-honey-sweet fruit
τοῖσιν δ' ἐν μέσσοισι πάϊς φόρμιγγι λιγείῃ
them and in the-middle a-boy with-a-lyre clear
ἱμερόεν κιθάριζε, λίνον δ' ὑπὸ καλὸν ἄειδε
lovely played the-Linus-song and beneath fair sang
λεπταλέῃ φωνῇ· τοὶ δὲ ῥήσσοντες ἀμαρτῇ
with-delicate voice they and stamping together
μολπῇ τ' ἰυγμῷ τε ποσὶ σκαίροντες ἕποντο.
with-song both shouting and with-feet skipping followed
Ἐν δ' ἀγέλην ποίησε βοῶν ὀρθοκραιράων·
In and a-herd he-made of-cattle straight-horned
αἱ δὲ βόες χρυσοῖο τετεύχατο κασσιτέρου τε,
the and cattle of-gold were-wrought of-tin and
μυκηθμῷ δ' ἀπὸ κόπρου ἐπεσσεύοντο νομόνδε
with-lowing and from the-dung they-hastened to-pasture
πὰρ ποταμὸν κελάδοντα, παρὰ ῥοδανὸν δονακῆα.
by a-river sounding beside a-swaying reed-bed
χρύσειοι δὲ νομῆες ἅμ' ἐστιχόωντο βόεσσι
golden and herdsmen with went-in-line the-cattle
τέσσαρες, ἐννέα δέ σφι κύνες πόδας ἀργοὶ ἕποντο.
four nine and them dogs in-feet swift followed
σμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτῃσι βόεσσι
dread and lions two among the-first cattle
ταῦρον ἐρύγμηλον ἐχέτην· ὁ δὲ μακρὰ μεμυκὼς
a-bull loud-bellowing held he and long bellowing
ἕλκετο· τὸν δὲ κύνες μετεκίαθον ἠδ' αἰζηοί.
was-dragged him and dogs pursued and young-men

τὼ μὲν ἀναρρήξαντε βοὸς μεγάλοιο βοείην
they-two indeed having-torn-open of-the-ox great the-hide
ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον· οἱ δὲ νομῆες
the-entrails and black blood gulped they and herdsmen
αὔτως ἐνδίεσαν ταχέας κύνας ὀτρύνοντες.
idly set-on swift dogs urging
οἱ δ' ἤτοι δακέειν μὲν ἀπετρωπῶντο λεόντων,
they and truly to-bite indeed shrank-back from-the-lions
ἱστάμενοι δὲ μάλ' ἐγγὺς ὑλάκτεον ἔκ τ' ἀλέοντο.
standing and very near barked away and avoided
Ἐν δὲ νομὸν ποίησε περικλυτὸς ἀμφιγυήεις
In and a-pasture he-made the-very-famous lame-one
ἐν καλῇ βήσσῃ μέγαν οἰῶν ἀργεννάων,
in fair glen great of-sheep white
σταθμούς τε κλισίας τε κατηρεφέας ἰδὲ σηκούς.
folds both huts and roofed and pens
Ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς ἀμφιγυήεις,
In and a-dance he-wrought the-very-famous lame-one
τῷ ἴκελον οἷόν ποτ' ἐνὶ Κνωσῷ εὐρείῃ
to-that like which once in Cnossus wide
Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ.
Daedalus fashioned for-fair-tressed Ariadne
ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
there indeed youths and maidens bringing-in-cattle
ὀρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.
danced each-other on the-wrist hands holding
τῶν δ' αἱ μὲν λεπτὰς ὀθόνας ἔχον, οἱ δὲ χιτῶνας
of-them and the-ones indeed fine linen had the-others and tunics
εἶατ' ἐϋννήτους, ἦκα στίλβοντας ἐλαίῳ·
they-wore well-spun softly glistening with-oil

καί ῥ᾽ αἱ μὲν καλὰς στεφάνας ἔχον, οἱ δὲ μαχαίρας
and then the-ones indeed fair garlands had the-others and daggers
εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων.
had golden from silver baldrics
οἱ δ᾽ ὁτὲ μὲν θρέξασκον ἐπισταμένοισι πόδεσσι
they and at-times indeed ran with-skilled feet
ῥεῖα μάλ᾽, ὡς ὅτε τις τροχὸν ἅρμενον ἐν παλάμῃσιν
easily very as when some wheel fitted in hands
ἑζόμενος κεραμεὺς πειρήσεται, αἴ κε θέῃσιν·
sitting a-potter tests if — it-runs
ἄλλοτε δ᾽ αὖ θρέξασκον ἐπὶ στίχας ἀλλήλοισι.
at-other-times and in-turn they-ran in rows to-each-other
πολλὸς δ᾽ ἱμερόεντα χορὸν περιίσταθ᾽ ὅμιλος
large and the-lovely dance stood-around a-throng
τερπόμενοι· δοιὼ δὲ κυβιστητῆρε κατ᾽ αὐτοὺς
delighting two and tumblers among them
μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.
the-song leading whirled through the-middle

Ἐν δὲ τίθει ποταμοῖο μέγα σθένος Ὠκεανοῖο
In and he-set of-the-river the-great might of-Oceanus
ἄντυγα πὰρ πυμάτην σάκεος πύκα ποιητοῖο.
the-rim along the-outermost of-the-shield closely made

Αὐτὰρ ἐπεὶ δὴ τεῦξε σάκος μέγα τε στιβαρόν τε,
But when indeed he-had-wrought the-shield great both stout and
τεῦξ᾽ ἄρα οἱ θώρηκα φαεινότερον πυρὸς αὐγῆς,
he-wrought then for-him a-corselet brighter than-fire's gleam
τεῦξε δέ οἱ κόρυθα βριαρὴν κροτάφοις ἀραρυῖαν,
he-wrought and for-him a-helmet heavy to-the-temples fitted

καλὴν δαιδαλέην, ἐπὶ δὲ χρύσεον λόφον ἧκε,
fair cunningly-wrought on and a-golden crest he-set
τεῦξε δέ οἱ κνημῖδας ἑανοῦ κασσιτέροιο.
he-wrought and for-him greaves of-pliant tin
Αὐτὰρ ἐπεὶ πάνθ' ὅπλα κάμε κλυτὸς ἀμφιγυήεις,
But when all the-arms had-toiled-at the-famous lame-one
μητρὸς Ἀχιλλῆος θῆκε προπάροιθεν ἀείρας.
of-the-mother of-Achilles he-set before lifting
ἡ δ' ἴρηξ ὣς ἆλτο κατ' Οὐλύμπου νιφόεντος,
she and a-hawk like leapt down Olympus snowy
τεύχεα μαρμαίροντα παρ' Ἡφαίστοιο φέρουσα.
the-arms gleaming from Hephaestus carrying

BOOK XIX

XIX.1 · THETIS BRINGS THE ARMOR

At dawn Thetis brings the armor to Achilles, who is weeping over Patroclus. The Myrmidons cannot look at it, but Achilles rejoices and says he will arm, though he fears flies will breed in Patroclus' wounds. Thetis promises to keep the body whole and tells him to call an assembly, renounce his anger against Agamemnon, and arm quickly. Then she drips ambrosia and nectar into the body.

Ἠὼς μὲν κροκόπεπλος ἀπ' Ὠκεανοῖο ῥοάων
Dawn indeed saffron-robed from of-Oceanus the-streams
ὄρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσιν·
rose that to-the-immortals light she-might-bring and to-mortals
ἡ δ' ἐς νῆας ἵκανε θεοῦ πάρα δῶρα φέρουσα.
she and to the-ships came the-god from gifts bringing
εὗρε δὲ Πατρόκλῳ περικείμενον ὃν φίλον υἱόν,
she-found and over-Patroclus lying her dear son
κλαίοντα λιγέως· πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι
weeping shrilly many and around him comrades
μύρονθ'· ἡ δ' ἐν τοῖσι παρίστατο δῖα θεάων,
lamented she and among them stood bright of-goddesses
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
in — then his she-clung to-hand word and spoke out and named(-him)
"τέκνον ἐμόν, τοῦτον μὲν ἐάσομεν ἀχνύμενοί περ
child my this-one indeed let-us-let grieving though
κεῖσθαι, ἐπεὶ δὴ πρῶτα θεῶν ἰότητι δαμάσθη·
lie since indeed first by-the-gods' will he-was-subdued

τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο,
you and of-Hephaestus from famous arms receive
καλὰ μάλ', οἷ' οὔ πώ τις ἀνὴρ ὤμοισι φόρησεν."
fair very such-as not yet any man on-shoulders bore
Ὣς ἄρα φωνήσασα θεὰ κατὰ τεύχε' ἔθηκε
So then having-spoken the-goddess down the-arms set
πρόσθεν Ἀχιλλῆος· τὰ δ' ἀνέβραχε δαίδαλα πάντα.
before Achilles they and rang-out cunningly-wrought all
Μυρμιδόνας δ' ἄρα πάντας ἕλε τρόμος, οὐδέ τις ἔτλη
the-Myrmidons and then all seized trembling nor any dared
ἄντην εἰσιδέειν, ἀλλ' ἔτρεσαν. αὐτὰρ Ἀχιλλεὺς
face-to-face to-look-at but they-shrank but Achilles
ὡς εἶδ', ὥς μιν μᾶλλον ἔδυ χόλος, ἐν δέ οἱ ὄσσε
as he-saw so him more entered anger in and his eyes
δεινὸν ὑπὸ βλεφάρων ὡς εἰ σέλας ἐξεφάανθεν·
dreadfully under the-lids as if a-flame shone-forth
τέρπετο δ' ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα.
he-delighted and in hands holding of-the-god the-glorious gifts
αὐτὰρ ἐπεὶ φρεσὶν ᾗσι τετάρπετο δαίδαλα λεύσσων,
but when in-mind his he-had-taken-delight cunning-works gazing-at
αὐτίκα μητέρα ἣν ἔπεα πτερόεντα προσηύδα·
at-once mother his words winged addressed
"μῆτερ ἐμή, τὰ μὲν ὅπλα θεὸς πόρεν οἷ' ἐπιεικὲς
mother my the indeed arms a-god gave such-as fitting
ἔργ' ἔμεν ἀθανάτων, μηδὲ βροτὸν ἄνδρα τελέσσαι.
works to-be of-the-immortals nor a-mortal man to-accomplish(-them)

νῦν δ᾽ ἤτοι μὲν ἐγὼ θωρήξομαι· ἀλλὰ μάλ᾽ αἰνῶς
now and truly indeed I will-arm-myself but very terribly
δείδω μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱὸν
I-fear lest for-me meanwhile of-Menoetius the-valiant son
μυῖαι καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλὰς
flies entering through the-bronze-made wounds
εὐλὰς ἐγγείνωνται, ἀεικίσσωσι δὲ νεκρόν —
worms breed defile and the-corpse
ἐκ δ᾽ αἰὼν πέφαται — κατὰ δὲ χρόα πάντα σαπήῃ.᾽᾽
out and the-life has-been-slain down and flesh all rot
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
Him and answered then the-goddess Thetis silver-footed
᾽᾽τέκνον, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
child not to-you these-things in mind your let-trouble
τῷ μὲν ἐγὼ πειρήσω ἀλαλκεῖν ἄγρια φῦλα,
from-him indeed I will-try to-ward-off the-savage tribes
μυίας, αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν·
the-flies which then — men slain-in-war devour
ἤν περ γὰρ κεῖταί γε τελεσφόρον εἰς ἐνιαυτόν,
if indeed for he-lies indeed full to a-year
αἰεὶ τῷ γ᾽ ἔσται χρὼς ἔμπεδος, ἢ καὶ ἀρείων.
always his indeed will-be flesh firm or even better
ἀλλὰ σύ γ᾽ εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιούς,
but you indeed to assembly calling the-heroes Achaean
μῆνιν ἀποειπὼν Ἀγαμέμνονι, ποιμένι λαῶν,
the-wrath renouncing to-Agamemnon shepherd of-the-people
αἶψα μάλ᾽ ἐς πόλεμον θωρήσσεο, δύσεο δ᾽ ἀλκήν.᾽᾽
quickly very to war arm-yourself put-on and courage

Ὣς ἄρα φωνήσασα μένος πολυθαρσὲς ἐνῆκε,
So then having-spoken might all-daring she-put-in
Πατρόκλῳ δ' αὖτ' ἀμβροσίην καὶ νέκταρ ἐρυθρὸν
for-Patroclus and in-turn ambrosia and nectar red
στάξε κατὰ ῥινῶν, ἵνα οἱ χρὼς ἔμπεδος εἴη.
she-instilled through the-nostrils that his flesh firm might-be

XIX.2 · THE QUARREL ENDED

Achilles calls an assembly, and even the wounded come, Diomedes and Odysseus limping, and Agamemnon last. Achilles says it would have been better if Briseis had died than that they had quarreled. He ends his anger and urges Agamemnon to rouse the army. Agamemnon answers that Zeus, Fate, and the Erinys, not he, sent Ate into his mind. Ate deceived even Zeus when Hera tricked him over the birth of Heracles, and Zeus threw her out of heaven. Agamemnon offers the gifts Odysseus promised.

Αὐτὰρ ὁ βῆ παρὰ θῖνα θαλάσσης δῖος Ἀχιλλεὺς
But he went along the-shore of-the-sea noble Achilles
σμερδαλέα ἰάχων, ὧρσεν δ' ἥρωας Ἀχαιούς.
terribly shouting roused and the-heroes Achaean
καί ῥ' οἵ περ τὸ πάρος γε νεῶν ἐν ἀγῶνι μένεσκον,
and then who indeed the before indeed of-the-ships in the-gathering stayed
οἵ τε κυβερνῆται καὶ ἔχον οἰήϊα νηῶν
who and helmsmen and held the-steering-oars of-the-ships
καὶ ταμίαι παρὰ νηυσὶν ἔσαν, σίτοιο δοτῆρες,
and stewards by the-ships were of-food dispensers
καὶ μὴν οἱ τότε γ' εἰς ἀγορὴν ἴσαν, οὕνεκ' Ἀχιλλεὺς
and truly they then indeed to assembly went because Achilles
ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
had-appeared long and from-battle he-had-ceased grievous

τὼ δὲ δύω σκάζοντε βάτην Ἄρεος θεράποντε,
the-two and two limping went of-Ares attendants
Τυδεΐδης τε μενεπτόλεμος καὶ δῖος Ὀδυσσεύς,
the-son-of-Tydeus both staunch-in-war and noble Odysseus
ἔγχει ἐρειδομένω· ἔτι γὰρ ἔχον ἕλκεα λυγρά·
on-spear leaning still for they-had wounds grievous
κὰδ δὲ μετὰ πρώτῃ ἀγορῇ ἵζοντο κιόντες.
down and in the-front assembly sat coming
αὐτὰρ ὁ δεύτατος ἦλθεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
but he last came lord of-men Agamemnon
ἕλκος ἔχων· καὶ γὰρ τὸν ἐνὶ κρατερῇ ὑσμίνῃ
a-wound having and for him in mighty combat
οὗτα Κόων Ἀντηνορίδης χαλκήρεϊ δουρί.
wounded Coön son-of-Antenor with-bronze-tipped spear
αὐτὰρ ἐπεὶ δὴ πάντες ἀολλίσθησαν Ἀχαιοί,
but when indeed all were-gathered the-Achaeans
τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς·
them and rising spoke-among in-feet swift Achilles
"Ἀτρεΐδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον
son-of-Atreus truly then at-all this for-both better
ἔπλετο σοὶ καὶ ἐμοί, ὅ τε νῶϊ περ ἀχνυμένω κῆρ
was for-you and for-me that — we-two indeed grieving at-heart
θυμοβόρῳ ἔριδι μενεήναμεν εἵνεκα κούρης;
in-heart-devouring strife raged for-the-sake-of a-girl
τὴν ὄφελ' ἐν νήεσσι κατακτάμεν Ἄρτεμις ἰῷ,
whom would-that among the-ships had-killed Artemis with-an-arrow
ἤματι τῷ ὅτ' ἐγὼν ἑλόμην Λυρνησσὸν ὀλέσσας·
on-day that when I took Lyrnessus having-sacked

τῶ κ᾽ οὐ τόσσοι Ἀχαιοὶ ὀδὰξ ἔλον ἄσπετον οὖδας
then — not so-many Achaeans with-their-teeth had-bitten the-boundless ground
δυσμενέων ὑπὸ χερσίν, ἐμεῦ ἀπομηνίσαντος.
of-the-foes under the-hands I raging-on
Ἕκτορι μὲν καὶ Τρωσὶ τὸ κέρδιον· αὐτὰρ Ἀχαιοὺς
for-Hector indeed and the-Trojans the more-profitable but the-Achaeans
δηρὸν ἐμῆς καὶ σῆς ἔριδος μνήσεσθαι ὀΐω.
long my and your of-the-strife will-remember I-think
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν ἀχνύμενοί περ,
but these-things indeed to-be-past let-us-let grieving though
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ·
the-heart in breast dear subduing by-necessity
νῦν δ᾽ ἤτοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
now and truly indeed I cease anger nor at-all me must
ἀσκελέως αἰεὶ μενεαινέμεν· ἀλλ᾽ ἄγε θᾶσσον
stubbornly always to-rage but come quickly
ὄτρυνον πόλεμόνδε κάρη κομόωντας Ἀχαιούς,
urge to-war on-head long-haired Achaeans
ὄφρ᾽ ἔτι καὶ Τρώων πειρήσομαι ἀντίον ἐλθών,
that still also the-Trojans I-may-test facing coming
αἴ κ᾽ ἐθέλωσ᾽ ἐπὶ νηυσὶν ἰαύειν· ἀλλά τιν᾽ οἴω
if — they-wish by the-ships to-sleep but some I-think
ἀσπασίως αὐτῶν γόνυ κάμψειν, ὅς κε φύγῃσι
gladly their knee will-bend who — escapes
δηΐου ἐκ πολέμοιο ὑπ᾽ ἔγχεος ἠμετέροιο.᾽᾽
hostile from war under spear our
Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἐχάρησαν ἐϋκνήμιδες Ἀχαιοὶ
So he-spoke they and rejoiced the-well-greaved Achaeans
μῆνιν ἀπειπόντος μεγαθύμου Πηλεΐωνος.
the-wrath renouncing the-great-hearted son-of-Peleus

τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
them and also spoke-among lord of-men Agamemnon
αὐτόθεν ἐξ ἕδρης, οὐδ' ἐν μέσσοισιν ἀναστάς·
from-there from his-seat not in the-middle rising
"ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
O friends heroes Danaans attendants of-Ares
ἑσταότος μὲν καλὸν ἀκούειν, οὐδὲ ἔοικεν
one-standing indeed fair to-hear nor is-it-fitting
ὑββάλλειν· χαλεπὸν γὰρ ἐπισταμένῳ περ ἐόντι.
to-interrupt hard for skilled though being
ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι
of-men and in great uproar how — any would-hear
ἠὲ εἴποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής.
or speak is-hindered and clear though being speaker
Πηλεΐδῃ μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἱ ἄλλοι
to-the-son-of-Peleus indeed I will-declare-myself but you others
σύνθεσθ' Ἀργεῖοι, μῦθόν τ' εὖ γνῶτε ἕκαστος.
take-heed Argives the-word and well mark each
πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον,
often indeed to-me this the-Achaeans word spoke
καί τέ με νεικείεσκον· ἐγὼ δ' οὐκ αἴτιός εἰμι,
and — me reproached I but not to-blame am
ἀλλὰ Ζεὺς καὶ Μοῖρα καὶ ἠεροφοῖτις Ἐρινύς,
but Zeus and Fate and mist-walking Erinys
οἵ τέ μοι εἰν ἀγορῇ φρεσὶν ἔμβαλον ἄγριον ἄτην,
who — for-me in assembly in-mind cast savage folly
ἤματι τῷ ὅτ' Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων.
on-day that when of-Achilles the-prize myself I-took
ἀλλὰ τί κεν ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ.
but what — could-I-do a-god through all accomplishes

πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται,
eldest of-Zeus daughter Ate who all blinds
οὐλομένη· τῇ μέν θ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὔδει
baneful her indeed — soft feet not for on the-ground
πίλναται, ἀλλ' ἄρα ἥ γε κατ' ἀνδρῶν κράατα βαίνει
she-treads but then she indeed over of-men the-heads walks
βλάπτουσ' ἀνθρώπους· κατὰ δ' οὖν ἕτερόν γε πέδησε.
harming men down and then one-or-another indeed she-binds
καὶ γὰρ δή νύ ποτε Ζεὺς ἄσατο, τόν περ ἄριστον
and for indeed now once Zeus was-blinded him indeed best
ἀνδρῶν ἠδὲ θεῶν φασ' ἔμμεναι· ἀλλ' ἄρα καὶ τὸν
of-men and gods they-say to-be but then also him
Ἥρη θῆλυς ἐοῦσα δολοφροσύνῃς ἀπάτησεν,
Hera female being with-wiles deceived
ἤματι τῷ ὅτ' ἔμελλε βίην Ἡρακληείην
on-day that when was-to the-might of-Heracles
Ἀλκμήνη τέξεσθαι ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.
Alcmene bear fair-crowned in Thebes
ἤτοι ὅ γ' εὐχόμενος μετέφη πάντεσσι θεοῖσι·
truly he indeed boasting spoke-among all the-gods
'κέκλυτέ μευ, πάντες τε θεοὶ πᾶσαί τε θέαιναι,
hear me all both gods all and goddesses
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσιν ἀνώγει.
that I-may-say what me the-heart in breast bids
σήμερον ἄνδρα φόωσδε μογοστόκος Εἰλείθυια
today a-man to-the-light birth-helping Eileithyia
ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάξει,
will-bring-forth who over-all the-dwellers-around will-rule

τῶν ἀνδρῶν γενεῆς οἵ θ' αἵματος ἐξ ἐμεῦ εἰσι.'
of-those men of-the-race who and of-blood from me are

τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
him and with-crafty-mind addressed queenly Hera

'ψευστήσεις, οὐδ' αὖτε τέλος μύθῳ ἐπιθήσεις.
you-will-be-false nor again fulfillment to-the-word will-you-set

εἰ δ' ἄγε νῦν μοι ὄμοσσον, Ὀλύμπιε, καρτερὸν ὅρκον,
if and come now to-me swear Olympian a-strong oath

ἦ μὲν τὸν πάντεσσι περικτιόνεσσιν ἀνάξειν,
truly indeed he over-all the-dwellers-around will-rule

ὅς κεν ἐπ' ἤματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικὸς
who — on day this falls between the-feet of-a-woman

τῶν ἀνδρῶν οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης.'
of-those men who your of blood are of-the-race

ὣς ἔφατο· Ζεὺς δ' οὔ τι δολοφροσύνην ἐνόησεν,
so she-spoke Zeus and not at-all the-wile noticed

ἀλλ' ὄμοσεν μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάσθη.
but swore great oath then and much was-blinded

Ἥρη δ' ἀΐξασα λίπεν ῥίον Οὐλύμποιο,
Hera and darting left the-peak of-Olympus

καρπαλίμως δ' ἵκετ' Ἄργος Ἀχαικόν, ἔνθ' ἄρα ἤδη
quickly and she-reached Argos Achaean where then she-knew

ἰφθίμην ἄλοχον Σθενέλου Περσηϊάδαο.
the-mighty wife of-Sthenelus son-of-Perseus

ἡ δ' ἐκύει φίλον υἱόν, ὁ δ' ἕβδομος ἑστήκει μείς·
she and was-pregnant-with dear son he and seventh stood month

ἐκ δ' ἄγαγε πρὸ φόωσδε καὶ ἠλιτόμηνον ἐόντα,
out and she-brought forth to-the-light even premature being

Ἀλκμήνης δ' ἀπέπαυσε τόκον, σχέθε δ' Εἰλειθυίας.
of-Alcmene and she-stopped the-birth held-back and the-Eileithyiae

αὐτὴ δ' ἀγγελέουσα Δία Κρονίωνα προσηύδα·
herself and announcing Zeus son-of-Cronus addressed
'Ζεῦ πάτερ ἀργικέραυνε, ἔπος τί τοι ἐν φρεσὶ θήσω·
Zeus father of-the-bright-lightning word some to-you in mind I-will-put
ἤδη ἀνὴρ γέγον' ἐσθλός, ὃς Ἀργείοισιν ἀνάξει,
already a-man is-born noble who over-the-Argives will-rule
Εὐρυσθεύς, Σθενέλοιο πάϊς Περσηϊάδαο,
Eurystheus of-Sthenelus son son-of-Perseus
σὸν γένος· οὔ οἱ ἀεικὲς ἀνασσέμεν Ἀργείοισιν.'
your race not for-him unseemly to-rule over-the-Argives
ὣς φάτο, τὸν δ' ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν·
so she-spoke him and grief sharp in mind struck deep
αὐτίκα δ' εἶλ' Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο
at-once and he-seized Ate by-the-head shining-tressed
χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον
angered in-mind his and swore a-strong oath
μή ποτ' ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα
not ever to Olympus both and heaven starry
αὖτις ἐλεύσεσθαι Ἄτην, ἣ πάντας ἀâται.
again to-come Ate who all blinds
ὣς εἰπὼν ἔρριψεν ἀπ' οὐρανοῦ ἀστερόεντος
so having-spoken he-hurled from heaven starry
χειρὶ περιστρέψας· τάχα δ' ἵκετο ἔργ' ἀνθρώπων.
with-hand whirling soon and she-reached the-works of-men
τὴν αἰεὶ στενάχεσχ', ὅθ' ἑὸν φίλον υἱὸν ὁρῴτο
for-her always he-groaned when his dear son he-saw
ἔργον ἀεικὲς ἔχοντα ὑπ' Εὐρυσθῆος ἀέθλων.
toil unseemly having under Eurystheus' labors

ὣς καὶ ἐγών, ὅτε δὴ αὖτε μέγας κορυθαίολος Ἕκτωρ
so also I when indeed again great helmet-flashing Hector
Ἀργείους ὀλέκεσκεν ἐπὶ πρύμνῃσι νέεσσιν,
the-Argives was-slaying at the-sterns ships
οὐ δυνάμην λελαθέσθ' Ἄτης, ᾗ πρῶτον ἀάσθην.
not I-could forget Ate by-whom first I-was-blinded
ἀλλ' ἐπεὶ ἀασάμην καί μευ φρένας ἐξέλετο Ζεύς,
but since I-was-blinded and my wits took-away Zeus
ἂψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα·
back I-wish to-make-amends to-give and boundless ransom
ἀλλ' ὄρσευ πόλεμόνδε, καὶ ἄλλους ὄρνυθι λαούς.
but rise to-war and others rouse hosts
δῶρα δ' ἐγὼν ὅδε πάντα παρασχέμεν, ὅσσα τοι ἐλθὼν
gifts and I here all to-provide as-many-as to-you coming
χθιζὸς ἐνὶ κλισίῃσιν ὑπέσχετο δῖος Ὀδυσσεύς.
yesterday in the-huts promised noble Odysseus
εἰ δ' ἐθέλεις, ἐπίμεινον ἐπειγόμενός περ Ἄρηος,
if but you-wish wait hastening though for-Ares
δῶρα δέ τοι θεράποντες ἐμῆς παρὰ νηὸς ἑλόντες
the-gifts and for-you attendants my from ship taking
οἴσουσ', ὄφρα ἴδηαι ὅ τοι μενοεικέα δώσω."
will-bring that you-may-see that for-you heart-pleasing I-shall-give

Achilles wants to fight at once. Odysseus says the men must first eat; let the gifts be brought, and let Agamemnon swear he never lay with Briseis. Agamemnon agrees. Achilles will not eat until Patroclus is avenged, but Odysseus answers that the living must eat.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Him and answering addressed in-feet swift Achilles
"Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
son-of-Atreus most-glorious lord of-men Agamemnon
δῶρα μὲν αἴ κ' ἐθέλῃσθα παρασχέμεν, ὡς ἐπιεικές,
the-gifts indeed if — you-wish to-provide as is-fitting
ἤ τ' ἐχέμεν παρὰ σοί· νῦν δὲ μνησώμεθα χάρμης
or and to-keep beside you now but let-us-be-mindful of-the-fight
αἶψα μάλ'· οὐ γὰρ χρὴ κλοτοπεύειν ἐνθάδ' ἐόντας
quickly very not for it-is-needful to-dally here being
οὐδὲ διατρίβειν· ἔτι γὰρ μέγα ἔργον ἄρεκτον·
nor to-delay still for great work undone
ὥς κέ τις αὖτ' Ἀχιλῆα μετὰ πρώτοισιν ἴδηται
so-that — some again Achilles among the-foremost may-see
ἔγχεϊ χαλκείῳ Τρώων ὀλέκοντα φάλαγγας.
with-spear bronze of-the-Trojans destroying the-battalions
ὧδέ τις ὑμείων μεμνημένος ἀνδρὶ μαχέσθω."
thus any of-you being-mindful with-a-man let-him-fight
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"μὴ δὴ οὕτως ἀγαθός περ ἐών, θεοείκελ' Ἀχιλλεῦ,
not indeed thus brave though being godlike Achilles

νήστιας ὄτρυνε προτὶ Ἴλιον υἷας Ἀχαιῶν
fasting urge to Ilium the-sons of-the-Achaeans
Τρωσὶ μαχησομένους, ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔσται
the-Trojans to-fight since not little time will-be
φύλοπις, εὖτ' ἂν πρῶτον ὁμιλήσωσι φάλαγγες
the-strife when — first meet the-battalions
ἀνδρῶν, ἐν δὲ θεὸς πνεύσῃ μένος ἀμφοτέροισιν.
of-men in and a-god breathes might both
ἀλλὰ πάσασθαι ἄνωχθι θοῇς ἐπὶ νηυσὶν Ἀχαιοὺς
but to-taste bid swift by ships the-Achaeans
σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.
of-food and of-wine this for might is and courage
οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
not for a-man all-through the-day to the-sun setting
ἄκμηνος σίτοιο δυνήσεται ἄντα μάχεσθαι·
fasting from-food will-be-able face-to-face to-fight
εἴ περ γὰρ θυμῷ γε μενοινάᾳ πολεμίζειν,
if indeed for in-heart indeed he-yearns to-fight
ἀλλά τε λάθρῃ γυῖα βαρύνεται, ἠδὲ κιχάνει
but — secretly limbs are-weighed-down and overtakes(-him)
δίψα τε καὶ λιμός, βλάβεται δέ τε γούνατ' ἰόντι.
thirst both and hunger is-hampered and — the-knees going
ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς
who and — a-man with-wine sated and with-food
ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζῃ,
with-men hostile all-day fights
θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσίν, οὐδέ τι γυῖα
bold now his heart in breast nor at-all limbs
πρὶν κάμνει, πρὶν πάντας ἐρωῆσαι πολέμοιο.
before tire before all withdraw from-war

ἀλλ᾽ ἄγε λαὸν μὲν σκέδασον καὶ δεῖπνον ἄνωχθι
but come the-host indeed scatter and the-meal bid
ὅπλεσθαι· τὰ δὲ δῶρα ἄναξ ἀνδρῶν Ἀγαμέμνων
to-prepare the and gifts lord of-men Agamemnon
οἰσέτω ἐς μέσσην ἀγορήν, ἵνα πάντες Ἀχαιοὶ
let-bring into the-middle assembly that all the-Achaeans
ὀφθαλμοῖσιν ἴδωσι, σὺ δὲ φρεσὶ σῇσιν ἰανθῇς.
with-eyes may-see you and in-mind your may-be-warmed
ὀμνυέτω δέ τοι ὅρκον ἐν Ἀργείοισιν ἀναστάς,
let-him-swear and to-you an-oath among the-Argives rising
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι·
not ever her bed to-have-mounted and to-have-mingled
ἣ θέμις ἐστίν, ἄναξ, ἥ τ᾽ ἀνδρῶν ἥ τε γυναικῶν·
as right is lord either — of-men or — of-women
καὶ δὲ σοὶ αὐτῷ θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω.
also and to-you yourself the-heart in breast gracious let-be
αὐτὰρ ἔπειτά σε δαιτὶ ἐνὶ κλισίῃς ἀρεσάσθω
but then you with-a-feast in the-huts let-him-appease
πιείρῃ, ἵνα μή τι δίκης ἐπιδευὲς ἔχῃσθα.
rich that not at-all of-justice lacking you-may-have
Ἀτρεΐδη, σὺ δ᾽ ἔπειτα δικαιότερος καὶ ἐπ᾽ ἄλλῳ
son-of-Atreus you and then more-just also to another
ἔσσεαι. οὐ μὲν γάρ τι νεμεσσητὸν βασιλῆα
will-be not indeed for at-all blameworthy a-king
ἄνδρ᾽ ἀπαρέσσασθαι, ὅτε τις πρότερος χαλεπήνῃ."
a-man to-appease when any first is-angry

Τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Him and in-turn addressed lord of-men Agamemnon
"χαίρω σεῦ, Λαερτιάδη, τὸν μῦθον ἀκούσας·
I-rejoice of-you son-of-Laertes the word hearing

ἐν μοίρῃ γὰρ πάντα διίκεο καὶ κατέλεξας.
in due for all you-went-through and recounted
ταῦτα δ' ἐγὼν ἐθέλω ὀμόσαι, κέλεται δέ με θυμός,
these-things and I wish to-swear bids and me the-heart
οὐδ' ἐπιορκήσω πρὸς δαίμονος. αὐτὰρ Ἀχιλλεὺς
nor will-I-swear-falsely before a-divinity but Achilles
μιμνέτω αὐτόθι τῆος ἐπειγόμενός περ Ἄρηος·
let-him-wait there meanwhile hastening though for-Ares
μίμνετε δ' ἄλλοι πάντες ἀολλέες, ὄφρα κε δῶρα
wait and others all thronging until — the-gifts
ἐκ κλισίης ἔλθῃσι καὶ ὅρκια πιστὰ τάμωμεν.
from the-hut come and oaths trusty we-cut
σοὶ δ' αὐτῷ τόδ' ἐγὼν ἐπιτέλλομαι ἠδὲ κελεύω·
to-you and yourself this I enjoin and bid
κρινάμενος κούρητας ἀριστῆας Παναχαιῶν
choosing young-men the-best of-all-the-Achaeans
δῶρα ἐμῆς παρὰ νηὸς ἐνεικέμεν, ὅσσ' Ἀχιλῆϊ
the-gifts my from ship to-bring as-many-as to-Achilles
χθιζὸν ὑπέστημεν δώσειν, ἀγέμεν τε γυναῖκας.
yesterday we-promised to-give to-lead and the-women
Ταλθύβιος δέ μοι ὦκα κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
Talthybius and for-me quickly through the-army wide of-the-Achaeans
κάπρον ἑτοιμασάτω, ταμέειν Διί τ' Ἠελίῳ τε."
a-boar let-prepare to-cut for-Zeus both the-Sun and

Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Him and answering addressed in-feet swift Achilles
" Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
son-of-Atreus most-glorious lord of-men Agamemnon
ἄλλοτέ περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι,
at-another-time indeed even rather you-ought these-things to-busy-with

ὁππότε τις μεταπαυσωλὴ πολέμοιο γένηται
when some pause of-war arises
καὶ μένος οὐ τόσον ἦσιν ἐνὶ στήθεσσιν ἐμοῖσι.
and the-might not so-great is in breast my
νῦν δ' οἱ μὲν κέαται δεδαϊγμένοι, οὓς ἐδάμασσεν
now but they indeed lie torn whom subdued
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν,
Hector son-of-Priam when to-him Zeus glory gave
ὑμεῖς δ' ἐς βρωτὺν ὀτρύνετον· ἦ τ' ἂν ἔγωγε
you-two but to food urge truly — — I-indeed
νῦν μὲν ἀνώγοιμι πτολεμίζειν υἷας Ἀχαιῶν
now indeed would-bid to-fight the-sons of-the-Achaeans
νήστιας ἀκμήνους, ἅμα δ' ἠελίῳ καταδύντι
fasting unfed with and the-sun setting
τεύξεσθαι μέγα δόρπον, ἐπὴν τεισαίμεθα λώβην.
to-prepare great supper when we-have-avenged the-outrage
πρὶν δ' οὔ πως ἂν ἔμοιγε φίλον κατὰ λαιμὸν ἰείη
before but not at-all — for-me dear down the-throat would-go
οὐ πόσις οὐδὲ βρῶσις, ἑταίρου τεθνηῶτος,
neither drink nor food the-comrade dead
ὅς μοι ἐνὶ κλισίῃ δεδαϊγμένος ὀξέϊ χαλκῷ
who for-me in the-hut torn with-sharp bronze
κεῖται ἀνὰ πρόθυρον τετραμμένος, ἀμφὶ δ' ἑταῖροι
lies toward the-doorway turned around and comrades
μύρονται· τό μοι οὔ τι μετὰ φρεσὶ ταῦτα μέμηλεν,
mourn therefore for-me not at-all in mind these-things are-a-care
ἀλλὰ φόνος τε καὶ αἷμα καὶ ἀργαλέος στόνος ἀνδρῶν."
but slaughter both and blood and grievous groaning of-men

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"ὦ Ἀχιλεῦ, Πηλῆος υἱέ, μέγα φέρτατ' Ἀχαιῶν,
O Achilles of-Peleus son far mightiest of-the-Achaeans
κρείσσων εἰς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ
stronger you-are than-me and better not little indeed
ἔγχει, ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην
with-the-spear I but — than-you in-thought indeed might-surpass
πολλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.
much since earlier I-was-born and more know
τῶ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν.
therefore your let-endure heart words my
αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,
quickly — of-battle comes satiety to-men
ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν,
of-which — the-most indeed straw on-the-ground bronze pours
ἄμητος δ' ὀλίγιστος, ἐπὴν κλίνῃσι τάλαντα
the-harvest and smallest when inclines the-scales
Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.
Zeus who — of-men steward of-war is
γαστέρι δ' οὔ πως ἔστι νέκυν πενθῆσαι Ἀχαιούς·
with-the-belly but not at-all is-it-possible the-dead to-mourn the-Achaeans
λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα
too for many and close-packed days all
πίπτουσιν· πότε κέν τις ἀναπνεύσειε πόνοιο;
fall when — any could-take-breath from-toil
ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅς κε θάνῃσι,
but it-is-needful him indeed to-bury who — dies
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας·
pitiless heart having for a-day weeping

ὅσσοι δ' ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται,
as-many-as but — of-war about hateful are-left
μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ' ἔτι μᾶλλον
to-be-mindful of-drink and food that still more
ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεί,
with-men hostile we-may-fight unceasingly always
ἑσσάμενοι χροΐ χαλκὸν ἀτειρέα. μηδέ τις ἄλλην
clothing on-the-flesh bronze untiring nor any another
λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναάσθω·
of-the-host summons waiting let-hold-back
ἥδε γὰρ ὀτρυντὺς κακὸν ἔσσεται ὅς κε λίπηται
this for summons evil will-be for-whoever — is-left
νηυσὶν ἐπ' Ἀργείων· ἀλλ' ἀθρόοι ὁρμηθέντες
the-ships by of-the-Argives but in-a-body rushing
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα."
the-Trojans against horse-taming let-us-rouse sharp Ares

XIX.4 · BRISEIS LAMENTS

The gifts are brought, Briseis among them. Agamemnon swears over a boar that he never touched her. Achilles says that Zeus gives men blindness, and dismisses them to eat. Briseis laments over Patroclus, who was always kind to her, and the women weep, each for her own grief. Achilles still refuses food.

Ἦ, καὶ Νέστορος υἷας ὀπάσσατο κυδαλίμοιο,
He-spoke and of-Nestor the-sons took-with-him glorious
Φυλείδην τε Μέγητα Θόαντά τε Μηριόνην τε
son-of-Phyleus and Meges Thoas both Meriones and
καὶ Κρειοντιάδην Λυκομήδεα καὶ Μελάνιππον·
and son-of-Creon Lycomedes and Melanippus

βὰν δ' ἴμεν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο.
they-went and to-go to the-hut of-Agamemnon son-of-Atreus
αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον·
at-once then with word was accomplished and the-deed
ἑπτὰ μὲν ἐκ κλισίης τρίποδας φέρον, οὕς οἱ ὑπέστη,
seven indeed from the-hut tripods they-brought which to-him he-had-promised
αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους·
gleaming and cauldrons twenty twelve and horses
ἐκ δ' ἄγον αἶψα γυναῖκας ἀμύμονα ἔργα ἰδυίας 245
out and they-led quickly women blameless works knowing
ἕπτ', ἀτὰρ ὀγδοάτην Βρισηΐδα καλλιπάρῃον.
seven but the-eighth Briseis fair-cheeked
χρυσοῦ δὲ στήσας Ὀδυσεὺς δέκα πάντα τάλαντα
of-gold and weighing Odysseus ten all talents
ἦρχ', ἅμα δ' ἄλλοι δῶρα φέρον κούρητες Ἀχαιῶν.
led with and the-others gifts carried young-men of-the-Achaeans
καὶ τὰ μὲν ἐν μέσσῃ ἀγορῇ θέσαν, ἂν δ' Ἀγαμέμνων
and them indeed in the-middle assembly they-set up and Agamemnon
ἵστατο· Ταλθύβιος δὲ θεῷ ἐναλίγκιος αὐδὴν 250
stood Talthybius and to-a-god like in-voice
κάπρον ἔχων ἐν χερσὶ παρίστατο ποιμένι λαῶν.
a-boar holding in hands stood-by the-shepherd of-the-people
Ἀτρεΐδης δὲ ἐρυσσάμενος χείρεσσι μάχαιραν,
the-son-of-Atreus and drawing with-hands the-knife
ἥ οἱ πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄωρτο,
which for-him by the-sword's great scabbard always hung

κάπρου ἀπὸ τρίχας ἀρξάμενος, Διὶ χεῖρας ἀνασχὼν
of-the-boar from hairs beginning to-Zeus hands holding-up
εὔχετο· τοὶ δ' ἄρα πάντες ἐπ' αὐτόφιν ἥατο σιγῇ
prayed they and then all on the-spot sat in-silence
Ἀργεῖοι κατὰ μοῖραν, ἀκούοντες βασιλῆος.
the-Argives in due hearing the-king
εὐξάμενος δ' ἄρα εἶπεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
having-prayed and then he-said looking to heaven broad
"ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
let-know now Zeus first of-gods highest and best
Γῆ τε καὶ Ἠέλιος καὶ Ἐρινύες, αἵ θ' ὑπὸ γαῖαν
Earth both and Sun and Erinyes who — beneath the-earth
ἀνθρώπους τίνυνται, ὅτις κ' ἐπίορκον ὀμόσσῃ,
men punish whoever — false-oath swears
μὴ μὲν ἐγὼ κούρῃ Βρισηΐδι χεῖρ' ἐπένεικα,
not indeed I on-the-girl Briseis a-hand laid
οὔτ' εὐνῆς πρόφασιν κεχρημένος οὔτε τευ ἄλλου.
neither of-bed for-the-sake needing nor of-anything other
ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίῃσιν ἐμῇσιν.
but she-remained untouched in the-huts my
εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν
if but any of-these false to-me the-gods pains may-give
πολλὰ μάλ', ὅσσα διδοῦσιν ὅτίς σφ' ἀλίτηται ὀμόσσας."
many very as-many-as they-give whoever them sins-against swearing

Ὣ, καὶ ἀπὸ στόμαχον κάπρου τάμε νηλέϊ χαλκῷ.
He-spoke and off the-throat of-the-boar cut with-pitiless bronze
τὸν μὲν Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα
it indeed Talthybius of-the-gray sea into the-great gulf
ῥῖψ᾽ ἐπιδινήσας, βόσιν ἰχθύσιν· αὐτὰρ Ἀχιλλεὺς
threw whirling food for-fishes but Achilles
ἀνστὰς Ἀργείοισι φιλοπτολέμοισι μετηύδα·
rising among-the-Argives war-loving spoke
"Ζεῦ πάτερ, ἦ μεγάλας ἄτας ἄνδρεσσι διδοῖσθα· 270
Zeus father truly great follies to-men you-give
οὐκ ἂν δή ποτε θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν
not — indeed ever the-heart in breast my
Ἀτρεΐδης ὤρινε διαμπερές, οὐδέ κε κούρην
the-son-of-Atreus would-have-stirred utterly nor — the-girl
ἦγεν ἐμεῦ ἀέκοντος ἀμήχανος· ἀλλά ποθι Ζεὺς
would-have-led me unwilling unmanageable but somehow Zeus
ἤθελ᾽ Ἀχαιοῖσιν θάνατον πολέεσσι γενέσθαι.
wished for-the-Achaeans death many to-be
νῦν δ᾽ ἔρχεσθ᾽ ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα." 275
now but go to the-meal that we-may-join Ares
Ὣς ἄρ᾽ ἐφώνησεν, λῦσεν δ᾽ ἀγορὴν αἰψηρήν.
So then he-spoke loosed and the-assembly swift
οἱ μὲν ἄρ᾽ ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος,
they indeed then scattered his-own to ship each
δῶρα δὲ Μυρμιδόνες μεγαλήτορες ἀμφεπένοντο,
the-gifts and the-Myrmidons great-hearted tended
βὰν δ᾽ ἐπὶ νῆα φέροντες Ἀχιλλῆος θείοιο.
they-went and to the-ship carrying of-Achilles godlike

καὶ τὰ μὲν ἐν κλισίῃσι θέσαν, κάθισαν δὲ γυναῖκας,
and them indeed in the-huts put seated and the-women
ἵππους δ' εἰς ἀγέλην ἔλασαν θεράποντες ἀγαυοί.
the-horses and to the-herd drove attendants lordly
Βρισηΐς δ' ἄρ' ἔπειτ', ἰκέλη χρυσέῃ Ἀφροδίτῃ,
Briseis and then thereafter like to-golden Aphrodite
ὡς ἴδε Πάτροκλον δεδαϊγμένον ὀξέϊ χαλκῷ,
when she-saw Patroclus torn with-sharp bronze
ἀμφ' αὐτῷ χυμένη λίγ' ἐκώκυε, χερσὶ δ' ἄμυσσε
about him flinging-herself shrilly wailed with-hands and tore
στήθεά τ' ἠδ' ἀπαλὴν δειρὴν ἰδὲ καλὰ πρόσωπα.
the-breast both and tender neck and fair face
εἶπε δ' ἄρα κλαίουσα γυνὴ ἐϊκυῖα θεῇσι·
said and then weeping the-woman like to-goddesses
"Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ,
Patroclus to-me wretched most dear to-the-heart
ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα,
alive indeed you left I from-the-hut going
νῦν δέ σε τεθνηῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
now and you dead I-find leader of-the-people
ἂψ ἀνιοῦσ'· ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.
back returning so for-me follows evil from evil always
ἄνδρα μὲν ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ
the-husband indeed to-whom gave me father and queenly mother
εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέϊ χαλκῷ,
I-saw before the-city torn with-sharp bronze
τρεῖς τε κασιγνήτους, τούς μοι μία γείνατο μήτηρ,
three and brothers whom to-me one bore mother
κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον.
dear who all the-deadly day met

οὐδὲ μὲν οὐδέ μ᾽ ἔασκες, ὅτ᾽ ἄνδρ᾽ ἐμὸν ὠκὺς Ἀχιλλεὺς
nor indeed not-even me used-to-let when the-husband my swift Achilles
ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
killed sacked and the-city of-godlike Mynes
κλαίειν, ἀλλά μ᾽ ἔφασκες Ἀχιλλῆος θείοιο
weep but me you-used-to-say of-Achilles godlike
κουριδίην ἄλοχον θήσειν, ἄξειν τ᾽ ἐνὶ νηυσὶν
wedded wife to-make to-take and in the-ships
ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι.
to Phthia to-celebrate and the-wedding among the-Myrmidons
τῶ σ᾽ ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί.”
therefore you insatiably I-weep dead kind always
Ὣς ἔφατο κλαίουσ᾽, ἐπὶ δὲ στενάχοντο γυναῖκες,
So she-spoke weeping in-response and groaned the-women
Πάτροκλον πρόφασιν, σφῶν δ᾽ αὐτῶν κήδε᾽ ἑκάστη.
Patroclus as-pretext their and own sorrows each
αὐτὸν δ᾽ ἀμφὶ γέροντες Ἀχαιῶν ἠγερέθοντο
him and around the-elders of-the-Achaeans gathered
λισσόμενοι δειπνῆσαι· ὁ δ᾽ ἠρνεῖτο στεναχίζων·
begging to-eat he but refused groaning
“λίσσομαι, εἴ τις ἔμοιγε φίλων ἐπιπείθεθ᾽ ἑταίρων,
I-beg if any to-me of-dear will-obey of-comrades
μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτος
not me before with-food bid nor with-drink
ἄσασθαι φίλον ἦτορ, ἐπεί μ᾽ ἄχος αἰνὸν ἱκάνει·
to-sate dear heart since me grief dread reaches
δύντα δ᾽ ἐς ἠέλιον μενέω καὶ τλήσομαι ἔμπης.”
set but till the-sun I-will-wait and will-endure nevertheless

The kings stay with Achilles to comfort him. He laments Patroclus, who used to set his meals before him, and says no greater grief could reach him, not even news of Peleus' death or of his son Neoptolemus on Scyros. He had hoped to die alone at Troy while Patroclus took his son home. Zeus pities him and sends Athena, who drops nectar and ambrosia into his chest so that hunger will not weaken him.

Ὣς εἰπὼν ἄλλους μὲν ἀπεσκέδασεν βασιλῆας,
So having-spoken the-other indeed he-dismissed kings
δοιὼ δ' Ἀτρεΐδα μενέτην καὶ δῖος Ὀδυσσεύς,
the-two and sons-of-Atreus stayed and noble Odysseus
Νέστωρ Ἰδομενεύς τε γέρων θ' ἱππηλάτα Φοῖνιξ,
Nestor Idomeneus both old-man and horse-driving Phoenix
τέρποντες πυκινῶς ἀκαχήμενον· οὐδέ τι θυμῷ
cheering constantly him-grieving nor at-all in-heart
τέρπετο, πρὶν πολέμου στόμα δύμεναι αἱματόεντος.
was-cheered before of-war the-mouth to-enter bloody
μνησάμενος δ' ἁδινῶς ἀνενείκατο φώνησέν τε·
remembering and thickly he-sighed spoke and
"ἦ ῥά νύ μοί ποτε καὶ σύ, δυσάμμορε, φίλταθ' ἑταίρων,
truly then now to-me once also you ill-fated dearest of-comrades
αὐτὸς ἐνὶ κλισίῃ λαρὸν παρὰ δεῖπνον ἔθηκας
yourself in the-hut a-pleasant beside meal set
αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατ' Ἀχαιοὶ
quickly and readily when were-eager the-Achaeans
Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα.
the-Trojans against horse-taming to-bring tearful Ares

νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος, αὐτὰρ ἐμὸν κῆρ
now but you indeed lie torn but my heart
ἄκμηνον πόσιος καὶ ἐδητύος, ἔνδον ἐόντων,
fasting from-drink and food within being
σῇ ποθῇ· οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι,
for-your longing not indeed for anything worse other I-could-suffer
οὐδ' εἴ κεν τοῦ πατρὸς ἀποφθιμένοιο πυθοίμην,
not-even if — of-the father dead I-should-learn
ὅς που νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει
who somewhere now in-Phthia tender down tear sheds
χήτεϊ τοιοῦδ' υἷος· ὁ δ' ἀλλοδαπῷ ἐνὶ δήμῳ
in-want of-such a-son I and foreign in land
εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶν πολεμίζω·
for-the-sake-of horrible Helen with-the-Trojans fight
ἠὲ τὸν ὃς Σκύρῳ μοι ἔνι τρέφεται φίλος υἱός,
or of-him who Scyros for-me in is-reared dear son
εἴ που ἔτι ζώει γε Νεοπτόλεμος θεοειδής.
if somewhere still lives indeed Neoptolemus godlike
πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
before indeed for to-me the-heart in breast hoped
οἷον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεος ἱπποβότοιο
alone me to-perish from Argos horse-pasturing
αὐτοῦ ἐνὶ Τροίῃ, σὲ δέ τε Φθίηνδε νέεσθαι,
here in Troy you and — to-Phthia to-return
ὡς ἄν μοι τὸν παῖδα θοῇ ἐνὶ νηῒ μελαίνῃ
that — for-me the son swift in ship black
Σκυρόθεν ἐξαγάγοις καί οἱ δείξειας ἕκαστα,
from-Scyros you-might-bring-out and to-him show each
κτῆσιν ἐμὴν δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα.
possessions my servants both and high-roofed great house

ἤδη γὰρ Πηλῆά γ' οἴομαι ἢ κατὰ πάμπαν
already for Peleus indeed I-think either — utterly
τεθνάμεν, ἤ που τυτθὸν ἔτι ζώοντ' ἀκάχησθαι
to-be-dead or somewhere barely still living to-be-grieved
γήραϊ τε στυγερῷ καὶ ἐμὴν ποτιδέγμενον αἰεὶ
by-old-age and hateful and my awaiting always
λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθηται."
grievous message when dead he-learns
Ὣς ἔφατο κλαίων, ἐπὶ δὲ στενάχοντο γέροντες,
So he-spoke weeping in-response and groaned the-elders
μνησάμενοι τὰ ἕκαστος ἐνὶ μεγάροισιν ἔλειπον·
remembering what each in halls left
μυρομένους δ' ἄρα τούς γε ἰδὼν ἐλέησε Κρονίων,
mourning and then them indeed seeing pitied the-son-of-Cronus
αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
quickly and Athena words winged addressed
"τέκνον ἐμόν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἑῆος.
child my indeed utterly you-are-going-away from-the-man good
ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ φρεσὶ μέμβλετ' Ἀχιλλεύς;
truly now to-you no-longer at-all in mind is-a-care Achilles
κεῖνος ὅ γε προπάροιθε νεῶν ὀρθοκραιράων
that-one he indeed before the-ships straight-horned
ἧσται ὀδυρόμενος ἕταρον φίλον· οἱ δὲ δὴ ἄλλοι
sits lamenting comrade dear the and indeed others
οἴχονται μετὰ δεῖπνον, ὁ δ' ἄκμηνος καὶ ἄπαστος.
have-gone to supper he but fasting and untasting
ἀλλ' ἴθι οἱ νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν
but go to-him nectar both and ambrosia lovely
στάξον ἐνὶ στήθεσσ', ἵνα μή μιν λιμὸς ἵκηται."
instill in breast that not him hunger may-reach

Ὣς εἰπὼν ὄτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
So having-spoken he-urged before eager Athena
ἡ δ' ἅρπῃ ἐϊκυῖα τανυπτέρυγι λιγυφώνῳ
she and to-a-hawk like long-winged clear-voiced
οὐρανοῦ ἐκ κατεπᾶλτο διὰ αἰθέρος. αὐτὰρ Ἀχαιοὶ
from-heaven out leapt-down through the-upper-air but the-Achaeans
αὐτίκα θωρήσσοντο κατὰ στρατόν· ἡ δ' Ἀχιλῆϊ
at-once armed through the-army she and for-Achilles
νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινὴν
nectar in breast and ambrosia lovely
στάξ', ἵνα μή μιν λιμὸς ἀτερπὴς γούναθ' ἵκοιτο·
instilled that not him hunger joyless to-the-knees might-come
αὐτὴ δὲ πρὸς πατρὸς ἐρισθενέος πυκινὸν δῶ
she-herself and to of-father mighty the-close house
ᾤχετο, τοὶ δ' ἀπάνευθε νεῶν ἐχέοντο θοάων.
went they and away from-the-ships poured swift

XIX.6 · THE HORSE SPEAKS

The Achaeans pour out from the ships. Achilles arms, gnashing his teeth: greaves, corselet, sword, the shield that shines like the moon, and the helmet, and he takes his father's Pelian spear. Automedon and Alcimus yoke the horses. Achilles tells Xanthus and Balius to bring him back alive, and Hera gives Xanthus a voice: they will save him today, but his death is near, at the hands of a god and a man. The Erinyes stop the horse's voice, and Achilles says he knows it, and drives to the front.

ὡς δ' ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτέονται,
as and when thick snowflakes of-Zeus fly-forth
ψυχραί, ὑπὸ ῥιπῆς αἰθρηγενέος Βορέαο,
cold under the-blast of-the-sky-born Boreas

ὣς τότε ταρφειαὶ κόρυθες λαμπρὸν γανόωσαι
so then thick helmets brightly gleaming
νηῶν ἐκφορέοντο καὶ ἀσπίδες ὀμφαλόεσσαι
from-the-ships were-carried-forth and shields bossed
θώρηκές τε κραταιγύαλοι καὶ μείλινα δοῦρα.
corselets and strong-plated and ashen spears
αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθὼν
the-gleam and heaven reached laughed and all around earth
χαλκοῦ ὑπὸ στεροπῆς· ὑπὸ δὲ κτύπος ὄρνυτο ποσσὶν
of-the-bronze under the-flash beneath and a-thud rose feet
ἀνδρῶν· ἐν δὲ μέσοισι κορύσσετο δῖος Ἀχιλλεύς.
of-men in and the-middle armed noble Achilles
τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλε, τὼ δέ οἱ ὄσσε
of-him and of-the-teeth indeed a-gnashing was the-two and his eyes
λαμπέσθην ὡς εἴ τε πυρὸς σέλας, ἐν δέ οἱ ἦτορ
shone as if — of-fire a-blaze in and his heart
δῦν' ἄχος ἄτλητον· ὁ δ' ἄρα Τρωσὶν μενεαίνων
entered grief unbearable he and then against-the-Trojans raging
δύσετο δῶρα θεοῦ, τά οἱ Ἥφαιστος κάμε τεύχων.
put-on the-gifts of-the-god which for-him Hephaestus toiled making
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
the-greaves indeed first about shins he-put
καλάς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
fair with-silver ankle-pieces fitted
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν.
second in-turn the-corselet about breast he-put-on

ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον
around and then shoulders he-cast the-sword silver-studded
χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε
bronze but then the-shield great both stout and
εἵλετο, τοῦ δ᾽ ἀπάνευθε σέλας γένετ᾽ ἠΰτε μήνης.
he-took of-which and far-off a-gleam arose like of-the-moon
ὡς δ᾽ ὅτ᾽ ἂν ἐκ πόντοιο σέλας ναύτῃσι φανήῃ
as and when — from the-sea a-gleam to-sailors appears
καιομένοιο πυρός, τό τε καίεται ὑψόθ᾽ ὄρεσφι
of-a-burning fire which — burns on-high in-the-mountains
σταθμῷ ἐν οἰοπόλῳ· τοὺς δ᾽ οὐκ ἐθέλοντας ἄελλαι
a-steading in lonely them and not willing the-gales
πόντον ἐπ᾽ ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσιν·
the-sea over fishy dear-ones far-from carry
ὣς ἀπ᾽ Ἀχιλλῆος σάκεος σέλας αἰθέρ᾽ ἵκανε
so from of-Achilles shield the-gleam the-upper-air reached
καλοῦ δαιδαλέου· περὶ δὲ τρυφάλειαν ἀείρας
fair cunningly-wrought around and the-helmet lifting
κρατὶ θέτο βριαρήν· ἡ δ᾽ ἀστὴρ ὣς ἀπέλαμπεν
on-head he-set heavy it and a-star like shone
ἵππουρις τρυφάλεια, περισσείοντο δ᾽ ἔθειραι
the-horsehair-crested helmet waved-around and the-plumes
χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς.
golden which Hephaestus set the-crest around thick
πειρήθη δ᾽ ἔο αὐτοῦ ἐν ἔντεσι δῖος Ἀχιλλεύς,
tried and him himself in the-arms noble Achilles
εἰ οἱ ἐφαρμόσσειε καὶ ἐντρέχοι ἀγλαὰ γυῖα·
whether to-him they-fitted and ran-freely glorious limbs
τῷ δ᾽ εὖτε πτερὰ γίγνετ᾽, ἄειρε δὲ ποιμένα λαῶν.
for-him and like wings they-became lifted and the-shepherd of-the-people

ἐκ δ' ἄρα σύριγγος πατρώϊον ἐσπάσατ' ἔγχος,
from and then the-case his-father's he-drew spear
βριθὺ μέγα στιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν
heavy great stout it indeed not could other of-the-Achaeans
πάλλειν, ἀλλά μιν οἷος ἐπίστατο πῆλαι Ἀχιλλεύς,
wield but it alone knew-how to-wield Achilles
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ πόρε Χείρων
Pelian ash which to-father dear gave Chiron
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν·
of-Pelion from the-peak death to-be for-heroes
ἵππους δ' Αὐτομέδων τε καὶ Ἄλκιμος ἀμφιέποντες
the-horses and Automedon both and Alcimus busying
ζεύγνυον· ἀμφὶ δὲ καλὰ λέπαδν' ἔσαν, ἐν δὲ χαλινοὺς
yoked around and fair collars they-put in and bits
γαμφηλῇς ἔβαλον, κατὰ δ' ἡνία τεῖναν ὀπίσσω
in-the-jaws they-cast down and the-reins drew back
κολλητὸν ποτὶ δίφρον. ὁ δὲ μάστιγα φαεινὴν
the-jointed to chariot he and the-whip shining
χειρὶ λαβὼν ἀραρυῖαν ἐφ' ἵπποιιν ἀνόρουσεν
in-hand taking fitted onto the-horses leapt
Αὐτομέδων· ὄπιθεν δὲ κορυσσάμενος βῆ Ἀχιλλεύς,
Automedon behind and armed went Achilles
τεύχεσι παμφαίνων ὥς τ' ἠλέκτωρ Ὑπερίων,
in-arms all-gleaming as — the-shining Hyperion
σμερδαλέον δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·
terribly and to-the-horses called of-father his-own
"Ξάνθε τε καὶ Βαλίε, τηλεκλυτὰ τέκνα Ποδάργης,
Xanthus both and Balius far-famed children of-Podarge

ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆα
otherwise indeed think to-save the-charioteer
ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεί χ' ἔωμεν πολέμοιο,
back of-the-Danaans into the-throng when — we-have-had-enough of-war
μηδ' ὡς Πάτροκλον λίπετ' αὐτόθι τεθνηῶτα."
nor as Patroclus leave there dead
Τὸν δ' ἄρ' ὑπὸ ζυγόφι προσέφη πόδας αἰόλος ἵππος
Him and then from-under the-yoke addressed in-feet quick horse
Ξάνθος, ἄφαρ δ' ἤμυσε καρήατι· πᾶσα δὲ χαίτη
Xanthus at-once and he-bowed with-the-head all and the-mane
ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν οὖδας ἵκανεν·
from-the-yoke-pad streaming-down by the-yoke the-ground reached
αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη·
endowed-with-speech and made-him the-goddess white-armed Hera
"καὶ λίην σ' ἔτι νῦν γε σαώσομεν, ὄβριμ' Ἀχιλλεῦ·
and very you still now indeed we-will-save mighty Achilles
ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον· οὐδέ τοι ἡμεῖς
but you-know near the-day deadly nor you-know we
αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ Μοῖρα κραταιή.
to-blame but a-god both great and Fate mighty
οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί τε νωχελίῃ τε
not-even for our slowness both sloth and
Τρῶες ἀπ' ὤμοιιν Πατρόκλου τεύχε' ἔλοντο·
the-Trojans from the-shoulders of-Patroclus the-arms took
ἀλλὰ θεῶν ὤριστος, ὃν ἠΰκομος τέκε Λητώ,
but of-the-gods the-best whom lovely-haired bore Leto
ἔκταν' ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκε.
killed among the-champions and to-Hector glory gave
νῶϊ δὲ καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν,
we-two and even — with the-blast of-Zephyrus could-run

ἦν περ ἐλαφροτάτην φάσ᾽ ἔμμεναι· ἀλλὰ σοὶ αὐτῷ
which indeed swiftest they-say to-be but for-you yourself
μόρσιμόν ἐστι θεῷ τε καὶ ἀνέρι ἶφι δαμῆναι."
fated it-is by-a-god both and a-man by-might to-be-subdued
Ὣς ἄρα φωνήσαντος Ἐρινύες ἔσχεθον αὐδήν.
So then him-having-spoken the-Erinyes checked the-voice
τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
him and greatly vexed addressed in-feet swift Achilles
"Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή.
Xanthus why to-me death do-you-prophesy nor at-all you must
εὖ νυ τὸ οἶδα καὶ αὐτὸς ὅ μοι μόρος ἐνθάδ᾽ ὀλέσθαι,
well now this I-know also myself that for-me fate here to-perish
νόσφι φίλου πατρὸς καὶ μητέρος· ἀλλὰ καὶ ἔμπης
apart dear father and mother but even nevertheless
οὐ λήξω πρὶν Τρῶας ἅδην ἐλάσαι πολέμοιο."
not I-will-cease before the-Trojans enough to-drive of-war
Ἦ ῥα, καὶ ἐν πρώτοις ἰάχων ἔχε μώνυχας ἵππους.
He-spoke then and among the-foremost shouting held the-single-hoofed horses

BOOK XX

XX.1 · THE GODS GO TO WAR

Zeus calls the gods to assembly and lets them join the battle as they please, for fear that Achilles will take Troy before its time. Hera, Athena, Poseidon, Hermes, and Hephaestus go to the ships; Ares, Apollo, Artemis, Leto, Xanthus, and Aphrodite go to the Trojans. Athena and Ares shout to their sides, Zeus thunders, and Poseidon shakes the earth so that Hades leaps from his throne in fear. The gods take their stand against each other.

Ὣς οἱ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο
So they indeed by the-ships curved armed
ἀμφὶ σέ, Πηλέος υἱέ, μάχης ἀκόρητον Ἀχαιοί,
around you of-Peleus son of-battle insatiate the-Achaeans
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο·
the-Trojans and in-turn on-the-other-side on the-rise of-the-plain
Ζεὺς δὲ Θέμιστα κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι
Zeus and Themis bade the-gods to-the-assembly to-call
κρατὸς ἀπ' Οὐλύμποιο πολυπτύχου· ἡ δ' ἄρα πάντῃ
the-head from of-Olympus many-folded she and then everywhere
φοιτήσασα κέλευσε Διὸς πρὸς δῶμα νέεσθαι.
going-about bade of-Zeus to the-house to-come
οὔτε τις οὖν ποταμῶν ἀπέην, νόσφ' Ὠκεανοῖο,
neither any then of-the-rivers was-absent apart-from Oceanus
οὔτ' ἄρα νυμφάων, αἵ τ' ἄλσεα καλὰ νέμονται
nor then of-the-nymphs who — groves fair haunt
καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα.
and springs of-rivers and meadows grassy

ἐλθόντες δ' ἐς δῶμα Διὸς νεφεληγερέταο
coming and into the-house of-Zeus cloud-gatherer
ξεστῇς αἰθούσῃσιν ἐνίζανον, ἃς Διὶ πατρὶ
in-polished porticoes sat which for-Zeus father
Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσιν.
Hephaestus made with-skilled wits
Ὣς οἱ μὲν Διὸς ἔνδον ἀγηγέρατ'· οὐδ' ἐνοσίχθων
So they indeed of-Zeus within were-gathered nor the-earth-shaker
νηκούστησε θεᾶς, ἀλλ' ἐξ ἁλὸς ἦλθε μετ' αὐτούς,
disobeyed the-goddess but from the-sea came among them
ἷζε δ' ἄρ' ἐν μέσσοισι, Διὸς δ' ἐξείρετο βουλήν·
sat and then in the-middle of-Zeus and asked the-purpose
"τίπτ' αὖτ', ἀργικέραυνε, θεοὺς ἀγορήνδε κάλεσσας;
why again of-the-bright-lightning the-gods to-the-assembly have-you-called
ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
truly some about the-Trojans and Achaeans do-you-ponder
τῶν γὰρ νῦν ἄγχιστα μάχη πόλεμός τε δέδηε."
of-them for now nearest battle war and has-blazed
Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Him and answering addressed cloud-gatherer Zeus
"ἔγνως, ἐννοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλήν,
you-have-known earth-shaker my in breast purpose
ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι ὀλλύμενοί περ.
for-whose sake I-gathered(-you) they-are-a-care to-me perishing though
ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
but truly indeed I will-stay in-a-fold of-Olympus
ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι· οἱ δὲ δὴ ἄλλοι
sitting there looking in-mind will-delight the and indeed others
ἔρχεσθ' ὄφρ' ἂν ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιούς,
go until — you-reach among the-Trojans and Achaeans

ἀμφοτέροισι δ᾽ ἀρήγεθ᾽, ὅπῃ νόος ἐστὶν ἑκάστου.
both and help as the-mind is of-each

εἰ γὰρ Ἀχιλλεὺς οἷος ἐπὶ Τρώεσσι μαχεῖται,
if for Achilles alone against the-Trojans will-fight

οὐδὲ μίννυθ᾽ ἕξουσι ποδώκεα Πηλεΐωνα.
not-even briefly will-they-hold the-swift-footed son-of-Peleus

καὶ δέ τί μιν καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες·
and also somewhat him even before they-trembled-at seeing

νῦν δ᾽ ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶς,
now but when indeed also in-heart for-his-comrade he-is-angered terribly

δείδω μὴ καὶ τεῖχος ὑπέρμορον ἐξαλαπάξῃ.᾽᾽
I-fear lest even the-wall beyond-fate he-sack

Ὣς ἔφατο Κρονίδης, πόλεμον δ᾽ ἀλίαστον ἔγειρε.
So spoke the-son-of-Cronus war and incessant roused

βὰν δ᾽ ἴμεναι πόλεμόνδε θεοί, δίχα θυμὸν ἔχοντες·
they-went and to-go to-war the-gods two-ways heart having

Ἥρη μὲν μετ᾽ ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη
Hera indeed to the-gathering of-the-ships and Pallas Athena

ἠδὲ Ποσειδάων γαιήοχος ἠδ᾽ ἐριούνης
and Poseidon earth-holder and the-helper

Ἑρμείας, ὃς ἐπὶ φρεσὶ πευκαλίμῃσι κέκασται·
Hermes who in wits shrewd excels

Ἥφαιστος δ᾽ ἅμα τοῖσι κίε σθένεϊ βλεμεαίνων,
Hephaestus and with them went in-strength exulting

χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
limping under and the-shins moved slender

ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος, αὐτὰρ ἅμ' αὐτῷ
to and the-Trojans Ares helmet-flashing but with him
Φοῖβος ἀκερσεκόμης ἠδ' Ἄρτεμις ἰοχέαιρα
Phoebus of-unshorn-hair and Artemis arrow-pouring
Λητώ τε Ξάνθος τε φιλομμειδής τ' Ἀφροδίτη.
Leto both Xanthus and smile-loving and Aphrodite
Ὅσσ μέν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔσαν ἀνδρῶν,
While indeed then apart the-gods from-mortal were men
τῆος Ἀχαιοὶ μὲν μέγα κύδανον, οὕνεκ' Ἀχιλλεὺς
so-long the-Achaeans indeed greatly exulted because Achilles
ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς·
had-appeared long and from-battle he-had-ceased grievous
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον,
the-Trojans and trembling dread came-under limbs each
δειδιότας, ὅθ' ὁρῶντο ποδώκεα Πηλεΐωνα
fearing when they-saw the-swift-footed son-of-Peleus
τεύχεσι λαμπόμενον, βροτολοιγῷ ἶσον Ἄρηϊ.
in-arms shining to-man-slaying equal Ares
αὐτὰρ ἐπεὶ μεθ' ὅμιλον Ὀλύμπιοι ἵκανον ἀνδρῶν,
but when into the-throng the-Olympians came of-men
ὦρτο δ' Ἔρις κρατερὴ λαοσσόος, αὖε δ' Ἀθήνη,
rose and Strife mighty host-rousing shouted and Athena
στᾶσ' ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός,
standing at-times indeed by the-ditch dug the-wall outside
ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἀΰτει.
at-other-times on the-shores loud-sounding loudly shouted
αὖε δ' Ἄρης ἑτέρωθεν, ἐρεμνῇ λαίλαπι ἶσος,
shouted and Ares on-the-other-side to-a-dark squall like

ὀξὺ κατ᾽ ἀκροτάτης πόλιος Τρώεσσι κελεύων,
sharply from the-topmost city to-the-Trojans calling
ἄλλοτε πὰρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνῃ.
at-other-times by the-Simoeis running on Callicolone
Ὣς τοὺς ἀμφοτέρους μάκαρες θεοὶ ὀτρύνοντες
So them both the-blessed gods urging
σύμβαλον, ἐν δ᾽ αὐτοῖς ἔριδα ῥήγνυντο βαρεῖαν·
joined in and themselves strife they-broke-forth heavy
δεινὸν δὲ βρόντησε πατὴρ ἀνδρῶν τε θεῶν τε
dreadfully and thundered the-father of-men both of-gods and
ὑψόθεν· αὐτὰρ νέρθε Ποσειδάων ἐτίναξε
from-on-high but below Poseidon shook
γαῖαν ἀπειρεσίην ὀρέων τ᾽ αἰπεινὰ κάρηνα.
the-earth boundless of-the-mountains and the-steep peaks
πάντες δ᾽ ἐσσείοντο πόδες πολυπίδακος Ἴδης
all and were-shaken the-feet of-many-fountained Ida
καὶ κορυφαί, Τρώων τε πόλις καὶ νῆες Ἀχαιῶν.
and the-peaks of-the-Trojans and city and ships of-the-Achaeans
ἔδεισεν δ᾽ ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς,
feared and below lord of-the-dead Aidoneus
δείσας δ᾽ ἐκ θρόνου ἅλτο καὶ ἴαχε, μή οἱ ὕπερθε
fearing and from the-throne he-leapt and shrieked lest for-him from-above
γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων,
the-earth should-break-open Poseidon the-earth-shaker
οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη
the-dwellings and to-mortals and immortals be-revealed
σμερδαλέ᾽ εὐρώεντα, τά τε στυγέουσι θεοί περ·
terrible dank which — hate the-gods indeed
τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων.
so-great then the-din rose of-the-gods in-strife meeting

ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος
truly indeed for facing Poseidon lord
ἵστατ' Ἀπόλλων Φοῖβος, ἔχων ἰὰ πτερόεντα,
stood Apollo Phoebus having arrows winged
ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη·
facing and Enyalius the-goddess flashing-eyed Athena
Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος κελαδεινὴ
Hera and withstood golden-distaffed clamorous
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη ἑκάτοιο·
Artemis arrow-pouring sister of-the-far-shooter
Λητοῖ δ' ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς,
Leto and withstood strong helper Hermes
ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης,
facing and then Hephaestus the-great river deep-eddying
ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον.
whom Xanthus call the-gods men and Scamander

XX.2 · APOLLO SENDS AENEAS

Achilles looks for Hector. Apollo, as Lycaon, rouses Aeneas to face him. Hera wants help for Achilles, but Poseidon proposes that the gods sit apart and watch, on two hills.

Ὣς οἱ μὲν θεοὶ ἄντα θεῶν ἴσαν· αὐτὰρ Ἀχιλλεὺς
So they indeed gods facing gods went but Achilles
Ἕκτορος ἄντα μάλιστα λιλαίετο δῦναι ὅμιλον
Hector against most longed to-enter the-throng
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιστά ἑ θυμὸς ἀνώγει
son-of-Priam his for then most him the-heart bade
αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν.
with-blood to-glut Ares the-shield-bearing warrior
Αἰνείαν δ' ἰθὺς λαοσσόος ὦρσεν Ἀπόλλων
Aeneas and straight host-rousing roused Apollo
ἀντία Πηλεΐωνος, ἐνῆκε δέ οἱ μένος ἠΰ·
against the-son-of-Peleus put-in and him might good
υἱεῖ δὲ Πριάμοιο Λυκάονι εἴσατο φωνήν·
to-the-son and of-Priam Lycaon he-likened-himself in-voice
τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
to-him him likening addressed of-Zeus son Apollo
"Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαί,
Aeneas of-the-Trojans counselor where your threats
ἃς Τρώων βασιλεῦσιν ὑπίσχεο οἰνοποτάζων,
which of-the-Trojans kings you-promised wine-drinking
Πηλεΐδεω Ἀχιλῆος ἐναντίβιον πολεμίξειν;"
the-son-of-Peleus Achilles face-to-face to-fight
Τὸν δ' αὖτ' Αἰνείας ἀπαμειβόμενος προσέειπε·
Him and in-turn Aeneas answering addressed
"Πριαμίδη, τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύεις,
son-of-Priam why me these-things even not willing do-you-bid
ἀντία Πηλεΐωνος ὑπερθύμοιο μάχεσθαι;
against the-son-of-Peleus high-spirited to-fight

οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ᾽ Ἀχιλῆος
not indeed for now first the-swift-footed against Achilles
στήσομαι, ἀλλ᾽ ἤδη με καὶ ἄλλοτε δουρὶ φόβησεν
I-shall-stand but already me also another-time with-the-spear he-routed
ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρῃσι,
from Ida when the-cattle he-came-upon our
πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον· αὐτὰρ ἐμὲ Ζεὺς
sacked and Lyrnessus and Pedasus but me Zeus
εἰρύσαθ᾽, ὅς μοι ἐπῶρσε μένος λαιψηρά τε γοῦνα.
rescued who in-me roused might swift and knees
ἦ κε δάμην ὑπὸ χερσὶν Ἀχιλλῆος καὶ Ἀθήνης,
truly — I-would-have-been-subdued under the-hands of-Achilles and of-Athena
ἥ οἱ πρόσθεν ἰοῦσα τίθει φάος ἠδ᾽ ἐκέλευεν
who him before going set light and bade
ἔγχεϊ χαλκείῳ Λέλεγας καὶ Τρῶας ἐναίρειν.
with-spear bronze the-Leleges and Trojans to-slay
τῷ οὐκ ἔστ᾽ Ἀχιλῆος ἐναντίον ἄνδρα μάχεσθαι·
therefore not is-it-possible Achilles against a-man to-fight
αἰεὶ γὰρ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει.
always for beside one indeed of-the-gods who ruin wards-off
καὶ δ᾽ ἄλλως τοῦ γ᾽ ἰθὺ βέλος πέτετ᾽, οὐδ᾽ ἀπολήγει
and also otherwise his indeed straight the-dart flies nor ceases
πρὶν χροὸς ἀνδρομέοιο διελθέμεν. εἰ δὲ θεός περ
before the-flesh human to-pass-through if but a-god indeed
ἶσον τείνειεν πολέμου τέλος, οὔ κε μάλα ῥέα
evenly would-stretch of-war the-end not — very easily
νικήσει᾽, οὐδ᾽ εἰ παγχάλκεος εὔχεται εἶναι."
he-would-conquer not-even if all-bronze he-claims to-be

Τὸν δ' αὖτε προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
Him and in-turn addressed lord of-Zeus son Apollo
"ἥρως, ἀλλ' ἄγε καὶ σὺ θεοῖς αἰειγενέτῃσιν
hero but come also you to-the-gods ever-living
εὔχεο· καὶ δὲ σέ φασι Διὸς κούρης Ἀφροδίτης
pray and also you they-say of-Zeus' daughter Aphrodite
ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐστιν·
to-be-born he and a-lesser from goddess is
ἡ μὲν γὰρ Διός ἐσθ', ἡ δ' ἐξ ἁλίοιο γέροντος.
the-one indeed for of-Zeus is the-other and from of-the-sea old-man
ἀλλ' ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν
but straight carry bronze untiring nor you at-all
λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ."
with-grievous words let-him-turn-aside and threats
Ὣς εἰπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν,
So having-spoken he-breathed-into might great the-shepherd of-the-people
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ.
he-went and through the-champions helmeted in-gleaming bronze
οὐδ' ἔλαθ' Ἀγχίσαο πάϊς λευκώλενον Ἥρην
nor escaped of-Anchises the-son white-armed Hera
ἀντία Πηλεΐωνος ἰὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν·
against the-son-of-Peleus going through the-throng of-men
ἡ δ' ἄμυδις στήσασα θεοὺς μετὰ μῦθον ἔειπε·
she and together gathering the-gods among word said
"φράζεσθον δὴ σφῶϊ, Ποσείδαον καὶ Ἀθήνη,
consider indeed you-two Poseidon and Athena
ἐν φρεσὶν ὑμετέρῃσιν, ὅπως ἔσται τάδε ἔργα.
in minds your how will-be these deeds

Αἰνείας ὅδ' ἔβη κεκορυθμένος αἴθοπι χαλκῷ
Aeneas here has-gone helmeted in-gleaming bronze
ἀντία Πηλεΐωνος, ἀνῆκε δὲ Φοῖβος Ἀπόλλων.
against the-son-of-Peleus sent and Phoebus Apollo
ἀλλ' ἄγεθ', ἡμεῖς πέρ μιν ἀποτρωπῶμεν ὀπίσσω
but come we indeed him let-us-turn back
αὐτόθεν· ἤ τις ἔπειτα καὶ ἡμείων Ἀχιλῆϊ
from-there or some then also of-us to-Achilles
παρσταίη, δοίη δὲ κράτος μέγα, μηδέ τι θυμῷ
may-stand-by may-give and power great nor at-all in-heart
δευέσθω, ἵνα εἰδῇ ὅ μιν φιλέουσιν ἄριστοι
let-him-lack that he-may-know that him love the-best
ἀθανάτων, οἱ δ' αὖτ' ἀνεμώλιοι οἳ τὸ πάρος περ
of-the-immortals they and in-turn windy who the before indeed
Τρωσὶν ἀμύνουσιν πόλεμον καὶ δηϊοτῆτα.
for-the-Trojans ward-off war and combat
πάντες δ' Οὐλύμποιο κατήλθομεν ἀντιόωντες
all and from-Olympus we-have-come-down meeting
τῆσδε μάχης, ἵνα μή τι μετὰ Τρώεσσι πάθῃσι
this battle that not at-all among the-Trojans he-may-suffer
σήμερον· ὕστερον αὖτε τὰ πείσεται ἄσσα οἱ Αἶσα
today later again those-things he-will-suffer whatever for-him Fate
γιγνομένῳ ἐπέκλωσε λίνῳ, ὅτε μιν τέκε μήτηρ.
being-born spun with-thread when him bore his-mother
εἰ δ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκ πεύσεται ὀμφῆς,
if and Achilles not these-things of-the-gods from will-learn the-voice
δείσετ' ἔπειθ', ὅτε κέν τις ἐναντίβιον θεὸς ἔλθῃ
he-will-fear then when — some face-to-face a-god comes
ἐν πολέμῳ· χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς."
in war hard and the-gods to-appear in-full-light

Τὴν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
Her and answered then Poseidon the-earth-shaker
" Ἥρη, μὴ χαλέπαινε παρὲκ νόον· οὐδέ τί σε χρή.
Hera not be-angry beyond reason nor at-all you must
οὐκ ἂν ἔγωγ' ἐθέλοιμι θεοὺς ἔριδι ξυνελάσσαι
not — I-indeed would-wish the-gods in-strife to-drive-together
ἡμέας τοὺς ἄλλους, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν·
us the others since truly much stronger we-are
ἀλλ' ἡμεῖς μὲν ἔπειτα καθεζώμεσθα κιόντες
but we indeed then let-us-sit going
ἐκ πάτου ἐς σκοπιήν, πόλεμος δ' ἄνδρεσσι μελήσει.
out-of the-path to a-lookout war and to-men will-be-a-care
εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων,
if and — Ares begin battle or Phoebus Apollo
ἢ Ἀχιλῆ' ἴσχωσι καὶ οὐκ εἰῶσι μάχεσθαι,
or Achilles hold-back and not allow to-fight
αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόθι νεῖκος ὀρεῖται
at-once then also for-us beside there strife will-arise
φυλόπιδος· μάλα δ' ὦκα διακρινθέντας ὀΐω
of-battle very and quickly parted I-think
ἂψ ἴμεν Οὔλυμπόνδε θεῶν μεθ' ὁμήγυριν ἄλλων,
back to-go to-Olympus of-the-gods to the-gathering other
ἡμετέρῃς ὑπὸ χερσὶν ἀναγκαίῃφι δαμέντας."
our under hands by-necessity subdued
Ὣς ἄρα φωνήσας ἡγήσατο κυανοχαίτης
So then having-spoken led the-dark-haired
τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο,
the-wall to heaped-up of-Heracles godlike

ὑψηλόν, τό ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη
high which then for-him the-Trojans and Pallas Athena
ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέαιτο,
made that the sea-monster escaping he-might-avoid
ὁππότε μιν σεύαιτο ἀπ᾽ ἠϊόνος πεδίονδε.
whenever him it-chased from the-shore to-the-plain
ἔνθα Ποσειδάων κατ᾽ ἄρ᾽ ἕζετο καὶ θεοὶ ἄλλοι,
there Poseidon down then sat and gods other
ἀμφὶ δ᾽ ἄρ᾽ ἄρρηκτον νεφέλην ὤμοισιν ἔσαντο·
about and then unbreakable cloud on-shoulders they-put
οἱ δ᾽ ἑτέρωσε καθῖζον ἐπ᾽ ὀφρύσι Καλλικολώνης
they and on-the-other-side sat on the-brows of-Callicolone
ἀμφὶ σέ, ἥϊε Φοῖβε, καὶ Ἄρηα πτολίπορθον.
around you archer Phoebus and Ares sacker-of-cities
Ὣς οἱ μέν ῥ᾽ ἑκάτερθε καθήατο μητιόωντες
So they indeed then on-either-side sat devising
βουλάς· ἀρχέμεναι δὲ δυσηλεγέος πολέμοιο
counsels to-begin but painful war
ὄκνεον ἀμφότεροι, Ζεὺς δ᾽ ἥμενος ὕψι κέλευε.
shrank both Zeus and sitting on-high bade

Aeneas and Achilles meet. Achilles mocks him: Priam will not give him the kingdom, and he once ran from Achilles on Ida. Aeneas answers with his lineage: Dardanus son of Zeus; Erichthonius, whose mares bore Boreas foals that ran over the grain; Tros; Ilus, Assaracus, and Ganymede, whom the gods carried off; and from them Priam and himself. Words are plentiful on both sides, he says, and they should fight.

Τῶν δ' ἅπαν ἐπλήσθη πεδίον καὶ λάμπετο χαλκῷ,
Of-them and all was-filled the-plain and shone with-bronze
ἀνδρῶν ἠδ' ἵππων· κάρκαιρε δὲ γαῖα πόδεσσιν
of-men and of-horses quaked and the-earth with-the-feet
ὀρνυμένων ἄμυδις. δύο δ' ἀνέρες ἔξοχ' ἄριστοι
rushing together two and men far best
ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι,
into the-middle of-both came-together eager to-fight
Αἰνείας τ' Ἀγχισιάδης καὶ δῖος Ἀχιλλεύς.
Aeneas both son-of-Anchises and noble Achilles
Αἰνείας δὲ πρῶτος ἀπειλήσας ἐβεβήκει,
Aeneas and first threatening strode
νευστάζων κόρυθι βριαρῇ· ἀτὰρ ἀσπίδα θοῦριν
nodding with-helmet heavy but the-shield impetuous
πρόσθεν ἔχε στέρνοιο, τίνασσε δὲ χάλκεον ἔγχος.
before held the-breast brandished and bronze spear
Πηλεΐδης δ' ἑτέρωθεν ἐναντίον ὦρτο λέων ὥς,
the-son-of-Peleus and on-the-other-side facing rose a-lion like

σίντης, ὅν τε καὶ ἄνδρες ἀποκτάμεναι μεμάασιν
ravening whom — also men to-kill are-eager
ἀγρόμενοι πᾶς δῆμος· ὁ δὲ πρῶτον μὲν ἀτίζων
gathered all the-people he and first indeed disregarding
ἔρχεται, ἀλλ' ὅτε κέν τις ἀρηϊθόων αἰζηῶν
goes but when — some of-the-swift-in-war young-men
δουρὶ βάλῃ, ἐάλη τε χανών, περί τ' ἀφρὸς ὀδόντας
with-spear hits he-crouches and gaping around and foam the-teeth
γίγνεται, ἐν δέ τέ οἱ κραδίῃ στένει ἄλκιμον ἦτορ,
arises in and — his heart groans valiant spirit
οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν
with-the-tail and ribs both and flanks on-both-sides
μαστίεται, ἐὲ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι,
lashes himself and himself urges to-fight
γλαυκιόων δ' ἰθὺς φέρεται μένει, ἤν τινα πέφνῃ
glaring and straight is-borne in-might if any he-may-kill
ἀνδρῶν, ἢ αὐτὸς φθίεται πρώτῳ ἐν ὁμίλῳ·
of-men or himself perish the-front in throng
ὣς Ἀχιλῆ' ὄτρυνε μένος καὶ θυμὸς ἀγήνωρ
so Achilles roused might and heart proud
ἀντίον ἐλθέμεναι μεγαλήτορος Αἰνείαο.
against to-go of-great-hearted Aeneas
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
they and when indeed near were against each-other going
τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
him first addressed swift-footed noble Achilles

“Αἰνεία, τί σὺ τόσσον ὁμίλου πολλὸν ἐπελθὼν
Aeneas why you so-far from-the-throng far coming-out
ἔστης; ἦ σέ γε θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει
stood truly you indeed the-heart with-me to-fight bids
ἐλπόμενον Τρώεσσιν ἀνάξειν ἱπποδάμοισι
hoping the-Trojans to-rule horse-taming
τιμῆς τῆς Πριάμου; ἀτὰρ εἴ κεν ἔμ’ ἐξεναρίξῃς,
in-honor that of-Priam but if — me you-slay
οὔ τοι τοὔνεκά γε Πρίαμος γέρας ἐν χερὶ θήσει·
not you-know for-that indeed Priam the-prize in hand will-put
εἰσὶν γάρ οἱ παῖδες, ὁ δ’ ἔμπεδος οὐδ’ ἀεσίφρων.
are for his sons he and steadfast nor witless
ἦ νύ τί τοι Τρῶες τέμενος τάμον ἔξοχον ἄλλων,
or now some for-you the-Trojans a-domain cut-out outstanding of-others
καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμηαι,
fair of-orchard and plowland that you-may-dwell
αἴ κεν ἐμὲ κτείνῃς; χαλεπῶς δέ σ’ ἔολπα τὸ ῥέξειν.
if — me you-kill hardly and you I-think this to-do
ἤδη μὲν σέ γέ φημι καὶ ἄλλοτε δουρὶ φοβῆσαι.
already indeed you indeed I-say also another-time with-the-spear to-have-routed
ἦ οὐ μέμνῃ ὅτε πέρ σε βοῶν ἄπο μοῦνον ἐόντα
or not you-remember when indeed you the-cattle from alone being
σεῦα κατ’ Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσι
I-drove down the-Idaean mountains with-swift feet
καρπαλίμως; τότε δ’ οὔ τι μετατροπαλίζεο φεύγων.
quickly then and not at-all you-turned-to-look-back fleeing
ἔνθεν δ’ ἐς Λυρνησσὸν ὑπέκφυγες· αὐτὰρ ἐγὼ τὴν
thence and to Lyrnessus you-escaped but I it
πέρσα μεθορμηθεὶς σὺν Ἀθήνῃ καὶ Διὶ πατρί,
sacked rushing-after with Athena and Zeus father

λῃϊάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀπούρας
captive and women of-freedom the-day taking-away
ἦγον· ἀτὰρ σὲ Ζεὺς ἐρρύσατο καὶ θεοὶ ἄλλοι.
I-led but you Zeus rescued and gods other
ἀλλ᾽ οὐ νῦν ἐρύεσθαι ὀΐομαι, ὡς ἐνὶ θυμῷ
but not now to-rescue I-think as in heart
βάλλεαι· ἀλλά σ᾽ ἔγωγ᾽ ἀναχωρήσαντα κελεύω
you-lay(-it) but you I-indeed withdrawing bid
ἐς πληθὺν ἰέναι, μηδ᾽ ἀντίος ἵστασ᾽ ἐμεῖο,
into the-throng to-go nor against stand me
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.”
before some evil to-suffer done and — a-fool knows
Τὸν δ᾽ αὖτ᾽ Αἰνείας ἀπαμείβετο φώνησέν τε·
Him and in-turn Aeneas answered spoke and
“Πηλεΐδη, μὴ δὴ ἐπέεσσί με νηπύτιον ὡς
son-of-Peleus not indeed with-words me a-child like
ἔλπεο δειδίξεσθαι, ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
hope to-frighten since clearly know also myself
ἠμὲν κερτομίας ἠδ᾽ αἴσυλα μυθήσασθαι.
both taunts and insults to-speak
ἴδμεν δ᾽ ἀλλήλων γενεήν, ἴδμεν δὲ τοκῆας,
we-know and each-other's lineage we-know and the-parents
πρόκλυτ᾽ ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων·
famous hearing the-words of-mortal men
ὄψει δ᾽ οὔτ᾽ ἄρ πω σὺ ἐμοὺς ἴδες οὔτ᾽ ἄρ᾽ ἐγὼ σούς.
by-sight but neither then yet you my saw nor then I yours
φασὶ σὲ μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι,
they-say you indeed of-Peleus blameless offspring to-be
μητρὸς δ᾽ ἐκ Θέτιδος καλλιπλοκάμου ἁλοσύδνης·
mother and from Thetis fair-tressed sea-nymph

αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο
but I son of-great-hearted Anchises
εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοί ἐστ' Ἀφροδίτη·
claim to-be-born mother and to-me is Aphrodite
τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται
of-them indeed now one-side indeed dear son will-mourn
σήμερον· οὐ γάρ φημ' ἐπέεσσί γε νηπυτίοισιν
today not for I-say with-words indeed childish
ὧδε διακρινθέντε μάχης ἔξ ἀπονέεσθαι.
so parted from-battle out to-return
εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' ἐῢ εἰδῇς
if but you-wish also these-things to-learn that well you-may-know
ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασι·
our lineage many and it men know
Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς,
Dardanus in-turn first begot cloud-gatherer Zeus
κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔ πω Ἴλιος ἱρὴ
he-founded and Dardania since not yet Ilium sacred
ἐν πεδίῳ πεπόλιστο, πόλις μερόπων ἀνθρώπων,
in the-plain had-been-built a-city of-mortal men
ἀλλ' ἔθ' ὑπωρείας ᾤκεον πολυπίδακος Ἴδης.
but still the-foothills they-dwelt of-many-fountained Ida
Δάρδανος αὖ τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα,
Dardanus in-turn begot a-son Erichthonius king
ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων·
who indeed richest became of-mortal men
τοῦ τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο
of-him three-thousand horses the-marsh along grazed
θήλειαι, πώλοισιν ἀγαλλόμεναι ἁταλῇσι.
mares with-foals rejoicing tender

τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων,
them also Boreas loved grazing
ἵππῳ δ' εἰσάμενος παρελέξατο κυανοχαίτῃ·
to-a-horse and likening-himself lay-beside(-them) dark-maned
αἱ δ' ὑποκυσάμεναι ἔτεκον δυοκαίδεκα πώλους.
they and conceiving bore twelve foals
αἱ δ' ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν,
they and when indeed they-bounded over the-grain-giving field
ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων·
the-top over of-the-ears the-grain ran nor broke(-them)
ἀλλ' ὅτε δὴ σκιρτῷεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
but when indeed they-bounded over the-broad backs of-the-sea
ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκον.
the-top over the-breakers of-the-sea gray they-ran
Τρῶα δ' Ἐριχθόνιος τέκετο Τρώεσσιν ἄνακτα·
Tros and Erichthonius begot for-the-Trojans lord
Τρωὸς δ' αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
of-Tros and in-turn three sons blameless were-born
Ἶλός τ' Ἀσσάρακός τε καὶ ἀντίθεος Γανυμήδης,
Ilus both Assaracus both and godlike Ganymede
ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων·
who indeed fairest became of-mortal men
τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν
him also caught-up the-gods for-Zeus to-pour-wine
κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.
of-beauty for-the-sake his that among-the-immortals he-might-be
Ἶλος δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Λαομέδοντα·
Ilus and in-turn begot a-son blameless Laomedon

Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε
Laomedon and then Tithonus begot Priam and
Λάμπον τε Κλυτίον θ' Ἱκετάονά τ', ὄζον Ἄρηος·
Lampus both Clytius and Hicetaon and scion of-Ares
Ἀσσάρακος δὲ Κάπυν, ὁ δ' ἄρ' Ἀγχίσην τέκε παῖδα·
Assaracus and Capys he and then Anchises begot son
αὐτὰρ ἔμ' Ἀγχίσης, Πρίαμος δὲ τέχ' Ἕκτορα δῖον.
but me Anchises Priam and begot Hector noble
ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.
of-this you-know lineage both and blood I-claim to-be
Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε,
Zeus but valor in-men increases both diminishes and
ὅππως κεν ἐθέλῃσιν· ὁ γὰρ κάρτιστος ἁπάντων.
as — he-wishes he for strongest of-all
ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥς,
but come no-longer these-things let-us-say children like
ἑσταότ' ἐν μέσσῃ ὑσμίνῃ δῃϊοτῆτος.
standing in middle combat of-the-fray
ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι
there-are for for-both insults to-speak
πολλὰ μάλ', οὐδ' ἂν νηῦς ἑκατόζυγος ἄχθος ἄροιτο.
many very not-even — a-ship of-a-hundred-benches the-burden could-carry
στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι
twisting and the-tongue is of-mortals many and in-it words
παντοῖοι, ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.
of-all-kinds of-words and wide the-range this-way and that
ὁπποῖόν κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαις.
whatever-kind — you-may-speak word such — you-may-hear

ἀλλὰ τίη ἔριδας καὶ νείκεα νῶϊν ἀνάγκη
but why strifes and quarrels for-us-two the-need
νεικεῖν ἀλλήλοισιν ἐναντίον, ὥς τε γυναῖκας,
to-wrangle with-each-other face-to-face as — women
αἵ τε χολωσάμεναι ἔριδος πέρι θυμοβόροιο
who — angered strife about heart-devouring
νεικεῦσ' ἀλλήλῃσι μέσην ἐς ἄγυιαν ἰοῦσαι,
wrangle with-each-other the-middle into street going
πόλλ' ἐτεά τε καὶ οὐκί· χόλος δέ τε καὶ τὰ κελεύει.
much true both and not anger and — also those-things bids
ἀλκῆς δ' οὔ μ' ἐπέεσσιν ἀποτρέψεις μεμαῶτα
from-courage but not me with-words you-will-turn eager
πρὶν χαλκῷ μαχέσασθαι ἐναντίον· ἀλλ' ἄγε θᾶσσον
before with-bronze to-fight face-to-face but come quickly
γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν."
let-us-taste each-other with-bronze-tipped spears

XX.4 · POSEIDON SAVES AENEAS

Aeneas' spear pierces two layers of Achilles' shield and stops in the gold; Achilles' spear goes through the rim of Aeneas' shield and he crouches beneath it. Aeneas lifts a huge stone. Poseidon pities him, since he is fated to survive and rule the Trojans, and pours mist over Achilles' eyes, draws the spear from the shield, and lifts Aeneas over the ranks. He warns him not to face Achilles again. Achilles sees his spear lying before him, marvels, and judges Aeneas dear to the gods.

Ἦ ῥα, καὶ ἐν δεινῷ σάκει ἤλασεν ὄβριμον ἔγχος,
He-spoke then and on the-dread shield drove mighty spear
σμερδαλέῳ· μέγα δ' ἀμφὶ σάκος μύκε δουρὸς ἀκωκῇ.
terrible greatly and around the-shield rang of-the-spear at-the-point

Πηλεΐδης δὲ σάκος μὲν ἀπὸ ἕο χειρὶ παχείῃ
the-son-of-Peleus and the-shield indeed from himself with-hand stout
ἔσχετο ταρβήσας· φάτο γὰρ δολιχόσκιον ἔγχος
held fearing he-thought for the-long-shadowed spear
ῥέα διελεύσεσθαι μεγαλήτορος Αἰνείαο,
easily would-pass-through of-great-hearted Aeneas
νήπιος, οὐδ' ἐνόησε κατὰ φρένα καὶ κατὰ θυμὸν
fool nor knew in mind and in heart
ὡς οὐ ῥηϊδι' ἐστὶ θεῶν ἐρικυδέα δῶρα
that not easy are of-the-gods the-glorious gifts
ἀνδράσι γε θνητοῖσι δαμήμεναι οὐδ' ὑποείκειν.
for-men indeed mortal to-be-mastered nor to-yield
οὐδὲ τότ' Αἰνείαο δαΐφρονος ὄβριμον ἔγχος
not-even then of-Aeneas wise the-mighty spear
ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο·
broke the-shield the-gold for held-it-back the-gifts of-the-god
ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχας, αἱ δ' ἄρ' ἔτι τρεῖς
but two indeed it-drove through layers they and then still three
ἦσαν, ἐπεὶ πέντε πτύχας ἤλασε κυλλοποδίων,
were since five layers had-hammered the-lame-god
τὰς δύο χαλκείας, δύο δ' ἔνδοθι κασσιτέροιο,
the two bronze two and inside of-tin
τὴν δὲ μίαν χρυσέην, τῇ ῥ' ἔσχετο μείλινον ἔγχος.
the and one gold in-which then was-held the-ashen spear
Δεύτερος αὖτ' Ἀχιλεὺς προΐει δολιχόσκιον ἔγχος,
Second in-turn Achilles sent-forth long-shadowed spear
καὶ βάλεν Αἰνείαο κατ' ἀσπίδα πάντοσ' ἐΐσην,
and hit of-Aeneas on the-shield on-every-side balanced
ἄντυγ' ὕπο πρώτην, ᾗ λεπτότατος θέε χαλκός,
the-rim under first where thinnest ran bronze

λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός· ἡ δὲ διαπρὸ
thinnest and on-it-was hide of-ox it and right-through
Πηλιὰς ἤϊξεν μελίη, λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς.
the-Pelian darted ash rang and the-shield under it
Αἰνείας δ' ἐάλη καὶ ἀπὸ ἕθεν ἀσπίδ' ἀνέσχε
Aeneas and crouched and from himself the-shield held-up
δείσας· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
fearing the-spear and then over the-back in the-earth
ἔστη ἰεμένη, διὰ δ' ἀμφοτέρους ἕλε κύκλους
stood eager through and both took circles
ἀσπίδος ἀμφιβρότης· ὁ δ' ἀλευάμενος δόρυ μακρὸν
of-the-shield man-covering he and avoiding the-spear long
ἔστη, κὰδ δ' ἄχος οἱ χύτο μυρίον ὀφθαλμοῖσι,
stood down and grief on-him was-poured countless on-the-eyes
ταρβήσας ὅ οἱ ἄγχι πάγη βέλος. αὐτὰρ Ἀχιλλεὺς
afraid because him near stuck the-dart but Achilles
ἐμμεμαὼς ἐπόρουσεν ἐρυσσάμενος ξίφος ὀξύ,
eagerly rushed-on drawing sword sharp
σμερδαλέα ἰάχων· ὁ δὲ χερμάδιον λάβε χειρὶ
terribly shouting he and a-stone took in-hand
Αἰνείας, μέγα ἔργον, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν,
Aeneas great deed which not two indeed men could-carry
οἷοι νῦν βροτοί εἰσ'· ὁ δέ μιν ῥέα πάλλε καὶ οἷος.
such-as now mortals are he and it easily brandished even alone
ἔνθα κεν Αἰνείας μὲν ἐπεσσύμενον βάλε πέτρῳ
then — Aeneas indeed rushing-at would-have-hit with-the-stone
ἢ κόρυθ' ἠὲ σάκος, τό οἱ ἔρκεσε λυγρὸν ὄλεθρον,
either helmet or shield which for-him warded-off grievous destruction
τὸν δέ κε Πηλεΐδης σχεδὸν ἄορι θυμὸν ἀπηύρα,
him and — the-son-of-Peleus near with-the-sword of-life would-have-deprived

εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε Ποσειδάων ἐνοσίχθων·
if not then sharply noticed Poseidon the-earth-shaker
αὐτίκα δ᾽ ἀθανάτοισι θεοῖς μετὰ μῦθον ἔειπεν·
at-once and to-the-immortal gods among word said
"ὤ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο,
oh for-shame truly for-me grief for-great-hearted Aeneas
ὃς τάχα Πηλεΐωνι δαμεὶς Ἄϊδόσδε κάτεισι,
who soon by-the-son-of-Peleus subdued to-Hades will-go-down
πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο,
obeying the-words of-Apollo far-shooter
νήπιος, οὐδέ τί οἱ χραισμήσει λυγρὸν ὄλεθρον.
fool nor at-all him will-be-help-against grievous destruction
ἀλλὰ τίη νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει,
but why now this-man guiltless pains suffers
μάψ ἕνεκ᾽ ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ᾽ αἰεὶ
vainly for-the-sake-of others' griefs pleasing and always
δῶρα θεοῖσι δίδωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
gifts to-the-gods he-gives who heaven broad hold
ἀλλ᾽ ἄγεθ᾽ ἡμεῖς πέρ μιν ὑπὲκ θανάτου ἀγάγωμεν,
but come we indeed him from-out-of death let-us-lead
μή πως καὶ Κρονίδης κεχολώσεται, αἴ κεν Ἀχιλλεὺς
lest somehow also the-son-of-Cronus be-angered if — Achilles
τόνδε κατακτείνῃ· μόριμον δέ οἱ ἐστ᾽ ἀλέασθαι,
this-man kill fated and for-him it-is to-escape
ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται
so-that not seedless the-race and vanished perish
Δαρδάνου, ὃν Κρονίδης περὶ πάντων φίλατο παίδων,
of-Dardanus whom the-son-of-Cronus above all loved of-the-children
οἳ ἔθεν ἐξεγένοντο γυναικῶν τε θνητάων.
who from-him were-born women and mortal

ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·
already for of-Priam the-race has-come-to-hate the-son-of-Cronus
νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει
now and indeed of-Aeneas the-might the-Trojans will-rule
καὶ παίδων παῖδες, τοί κεν μετόπισθε γένωνται."
and of-children children who — afterward are-born
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
Him and answered then ox-eyed queenly Hera
"ἐννοσίγαι', αὐτὸς σὺ μετὰ φρεσὶ σῇσι νόησον
earth-shaker yourself you in mind your consider
Αἰνείαν, ἤ κέν μιν ἐρύσσεαι, ἦ κεν ἐάσῃς
Aeneas whether — him you-will-rescue or — let
Πηλεΐδῃ Ἀχιλῆϊ δαμήμεναι, ἐσθλὸν ἐόντα.
by-the-son-of-Peleus Achilles be-subdued brave being
ἤτοι μὲν γὰρ νῶϊ πολέας ὠμόσσαμεν ὅρκους
truly indeed for we-two many have-sworn oaths
πᾶσι μετ' ἀθανάτοισιν, ἐγὼ καὶ Παλλὰς Ἀθήνη,
all among immortals I and Pallas Athena
μή ποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,
not ever from the-Trojans to-ward-off evil day
μηδ' ὁπότ' ἂν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
not-even when — Troy with-fierce fire all burns
καιομένη, καίωσι δ' ἀρήϊοι υἱες Ἀχαιῶν."
burning burn-it and warlike sons of-the-Achaeans
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
But when this indeed heard Poseidon the-earth-shaker
βῆ ῥ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων,
he-went then to-go through both battle and through the-press of-spears
ἷξε δ' ὅθ' Αἰνείας ἠδ' ὁ κλυτὸς ἦεν Ἀχιλλεύς.
reached and where Aeneas and the famous was Achilles

αὐτίκα τῷ μὲν ἔπειτα κατ᾽ ὀφθαλμῶν χέεν ἀχλύν,
at-once on-the-one indeed then over the-eyes poured mist
Πηλεΐδῃ Ἀχιλῆϊ· ὁ δὲ μελίην εὔχαλκον
of-the-son-of-Peleus Achilles he and the-ash bronze-tipped
ἀσπίδος ἐξέρυσεν μεγαλήτορος Αἰνείαο·
from-the-shield drew-out of-great-hearted Aeneas
καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆος ἔθηκεν,
and it indeed before the-feet of-Achilles set
Αἰνείαν δ᾽ ἔσσευεν ἀπὸ χθονὸς ὑψόσ᾽ ἀείρας.
Aeneas and he-sped from the-earth aloft lifting
πολλὰς δὲ στίχας ἡρώων, πολλὰς δὲ καὶ ἵππων
many and ranks of-heroes many and also of-horses
Αἰνείας ὑπερᾶλτο θεοῦ ἀπὸ χειρὸς ὀρούσας,
Aeneas vaulted-over of-the-god from the-hand leaping
ἶξε δ᾽ ἐπ᾽ ἐσχατιὴν πολυάϊκος πολέμοιο,
reached and to the-edge of-tumultuous war
ἔνθα τε Καύκωνες πόλεμον μέτα θωρήσσοντο.
where — the-Caucones war for armed
τῷ δὲ μάλ᾽ ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων,
him and very near came Poseidon the-earth-shaker
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
“Αἰνεία, τίς σ᾽ ὧδε θεῶν ἀτέοντα κελεύει
Aeneas who you thus of-the-gods blinded bids
ἀντία Πηλεΐωνος ὑπερθύμοιο μάχεσθαι,
against the-son-of-Peleus high-spirited to-fight
ὅς σεῦ ἅμα κρείσσων καὶ φίλτερος ἀθανάτοισιν;
who than-you at-once stronger and dearer to-the-immortals
ἀλλ᾽ ἀναχωρῆσαι, ὅτε κεν συμβλήσεαι αὐτῷ,
but withdraw whenever — you-meet him

μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος εἰσαφίκηαι.
lest even beyond fate the-house of-Hades you-reach
αὐτὰρ ἐπεί κ' Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπῃ,
but when — Achilles death and fate meets
θαρσήσας δὴ ἔπειτα μετὰ πρώτοισι μάχεσθαι·
taking-courage indeed then among the-foremost fight
οὐ μὲν γάρ τίς σ' ἄλλος Ἀχαιῶν ἐξεναρίξει."
not indeed for any you other of-the-Achaeans will-slay
Ὣς εἰπὼν λίπεν αὐτόθ', ἐπεὶ διεπέφραδε πάντα.
So having-spoken he-left him-there when he-had-told all
αἶψα δ' ἔπειτ' Ἀχιλῆος ἀπ' ὀφθαλμῶν σκέδασ' ἀχλὺν
quickly and then of-Achilles from the-eyes scattered the-mist
θεσπεσίην· ὁ δ' ἔπειτα μέγ' ἔξιδεν ὀφθαλμοῖσιν,
wondrous he and then greatly looked-out with-eyes
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
vexed and then he-said to his great-hearted spirit
"ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
oh for-shame truly great wonder this with-eyes I-see
ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονός, οὐδέ τι φῶτα
the-spear indeed this lies on the-ground nor at-all the-man
λεύσσω, τῷ ἐφέηκα κατακτάμεναι μενεαίνων.
I-see at-whom I-cast to-kill eager
ἦ ῥα καὶ Αἰνείας φίλος ἀθανάτοισι θεοῖσιν
truly then also Aeneas dear to-the-immortal gods
ἦεν· ἀτάρ μιν ἔφην μὰψ αὔτως εὐχετάασθαι.
was but him I-thought vainly idly to-boast
ἐρρέτω· οὔ οἱ θυμὸς ἐμεῦ ἔτι πειρηθῆναι
let-him-go not to-him the-heart me longer to-try
ἔσσεται, ὃς καὶ νῦν φύγεν ἄσμενος ἐκ θανάτοιο.
will-be who even now fled glad from death

ἀλλ᾽ ἄγε δὴ Δαναοῖσι φιλοπτολέμοισι κελεύσας
but come indeed the-Danaans war-loving calling
τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίος ἐλθών.”
the other Trojans I-will-try facing coming

XX.5 · THE DEATH OF POLYDORUS

Achilles urges the Achaeans on, and Hector the Trojans, but Apollo warns Hector not to face Achilles in the front. Achilles kills Iphition, Demoleon, and Hippodamas. Then he kills Polydorus, Priam's youngest son, whom his father had forbidden to fight, as he runs through the front ranks, striking him in the back so that he falls holding his entrails.

Ἦ, καὶ ἐπὶ στίχας ἆλτο, κέλευε δὲ φωτὶ ἑκάστῳ·
He-spoke and onto the-ranks leapt bade and man each
“μηκέτι νῦν Τρώων ἑκὰς ἕστατε, δῖοι Ἀχαιοί,
no-longer now from-the-Trojans far stand noble Achaeans
ἀλλ᾽ ἄγ᾽ ἀνὴρ ἄντ᾽ ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι. 355
but come man against man let-him-go let-him-be-eager and to-fight
ἀργαλέον δέ μοί ἐστι καὶ ἰφθίμῳ περ ἐόντι
hard and for-me it-is even mighty though being
τόσσουσδ᾽ ἀνθρώπους ἐφέπειν καὶ πᾶσι μάχεσθαι·
so-many men to-pursue and with-all to-fight
οὐδέ κ᾽ Ἄρης, ὅς περ θεὸς ἄμβροτος, οὐδέ κ᾽ Ἀθήνη
not-even — Ares who indeed god immortal nor — Athena
τόσσησδ᾽ ὑσμίνης ἐφέποι στόμα καὶ πονέοιτο·
of-so-great combat could-pursue the-mouth and toil
ἀλλ᾽ ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε ποσίν τε 360
but as-much-as indeed I can with-hands both with-feet and
καὶ σθένει, οὔ μ᾽ ἔτι φημὶ μεθησέμεν οὐδ᾽ ἠβαιόν,
and strength not me any-longer I-say will-slacken not-even a-little

ἀλλὰ μάλα στιχὸς εἶμι διαμπερές, οὐδέ τιν᾽ οἴω
but very the-rank I-will-go through nor any I-think
Τρώων χαιρήσειν, ὅς τις σχεδὸν ἔγχεος ἔλθῃ.᾽᾽
of-the-Trojans will-rejoice who any near the-spear comes
Ὣς φάτ᾽ ἐποτρύνων· Τρώεσσι δὲ φαίδιμος Ἕκτωρ
So he-spoke urging to-the-Trojans and glorious Hector
κέκλεθ᾽ ὁμοκλήσας, φάτο δ᾽ ἴμμεναι ἄντ᾽ Ἀχιλῆος·
called shouting said and to-go against Achilles
᾽᾽Τρῶες ὑπέρθυμοι, μὴ δείδιτε Πηλεΐωνα.
Trojans high-spirited not fear the-son-of-Peleus
καί κεν ἐγὼν ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην·
and — I with-words even the-immortals could-fight
ἔγχεϊ δ᾽ ἀργαλέον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσιν.
with-spear but hard since truly much stronger they-are
οὐδ᾽ Ἀχιλεὺς πάντεσσι τέλος μύθοις ἐπιθήσει,
nor Achilles to-all fulfillment to-words will-put
ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούει.
but the-one indeed he-accomplishes the-other and even midway cuts-short
τοῦ δ᾽ ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
him and I against will-go even if to-fire hands he-is-like
εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ᾽ αἴθωνι σιδήρῳ.᾽᾽
if to-fire hands he-is-like the-might and to-blazing iron
Ὣς φάτ᾽ ἐποτρύνων, οἱ δ᾽ ἀντίοι ἔγχε᾽ ἄειραν
So he-spoke urging they and facing spears raised
Τρῶες· τῶν δ᾽ ἄμυδις μίχθη μένος, ὦρτο δ᾽ ἀϋτή.
the-Trojans of-them and together mingled the-might rose and the-cry
καὶ τότ᾽ ἄρ᾽ Ἕκτορα εἶπε παραστὰς Φοῖβος Ἀπόλλων·
and then then Hector addressed standing-by Phoebus Apollo
᾽᾽ Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆϊ προμάχιζε,
Hector no-longer at-all with-Achilles fight-in-front

ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο,
but in the-throng both and out-of the-din await
μή πώς σ' ἠὲ βάλῃ ἠὲ σχεδὸν ἄορι τύψῃ."
lest somehow you either he-hit or near with-the-sword strike
Ὣς ἔφαθ', Ἕκτωρ δ' αὖτις ἐδύσετο οὐλαμὸν ἀνδρῶν
So he-spoke Hector and back entered the-throng of-men
ταρβήσας, ὅτ' ἄκουσε θεοῦ ὅπα φωνήσαντος.
afraid when he-heard of-the-god the-voice having-spoken
ἐν δ' Ἀχιλεὺς Τρώεσσι θόρε φρεσὶν εἰμένος ἀλκήν,
in and Achilles on-the-Trojans leapt in-mind clothed-in courage
σμερδαλέα ἰάχων, πρῶτον δ' ἕλεν Ἰφιτίωνα,
terribly shouting first and he-took Iphition
ἐσθλὸν Ὀτρυντεΐδην, πολέων ἡγήτορα λαῶν,
brave son-of-Otrynteus of-many leader of-hosts
ὃν νύμφη τέκε νηΐς Ὀτρυντῆϊ πτολιπόρθῳ
whom a-nymph bore a-Naiad to-Otrynteus sacker-of-cities
Τμώλῳ ὕπο νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ·
Tmolus under snowy of-Hyde in rich land
τὸν δ' ἰθὺς μεμαῶτα βάλ' ἔγχεϊ δῖος Ἀχιλλεὺς
him and straight eager hit with-spear noble Achilles
μέσσην κὰκ κεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάσθη,
middle on the-head it and in-two all was-split
δούπησεν δὲ πεσών, ὁ δ' ἐπεύξατο δῖος Ἀχιλλεύς·
he-thudded and falling he and boasted noble Achilles
"κεῖσαι, Ὀτρυντεΐδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν·
you-lie son-of-Otrynteus of-all most-terrible of-men

ἐνθάδε τοι θάνατος, γενεὴ δέ τοί ἐστ' ἐπὶ λίμνῃ
here for-you death the-birth and for-you is at the-lake
Γυγαίῃ, ὅθι τοι τέμενος πατρώϊόν ἐστιν,
Gygaean where for-you the-domain ancestral is
Ὕλλῳ ἐπ' ἰχθυόεντι καὶ Ἕρμῳ δινήεντι."
Hyllus by fish-filled and Hermus eddying
Ὣς ἔφατ' εὐχόμενος, τὸν δὲ σκότος ὄσσε κάλυψε.
So he-spoke boasting him and darkness the-eyes covered
τὸν μὲν Ἀχαιῶν ἵπποι ἐπισσώτροις δατέοντο
him indeed of-the-Achaeans the-horses with-the-tires cut-up
πρώτῃ ἐν ὑσμίνῃ· ὁ δ' ἐπ' αὐτῷ Δημολέοντα,
front in combat he and after him Demoleon
ἐσθλὸν ἀλεξητῆρα μάχης, Ἀντήνορος υἱόν,
brave defender in-battle of-Antenor son
νύξε κατὰ κρόταφον, κυνέης διὰ χαλκοπαρῄου.
stabbed on the-temple the-helmet through bronze-cheeked
οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ δι' αὐτῆς
nor then the-bronze helmet held-it but through it
αἰχμὴ ἱεμένη ῥῆξ' ὀστέον, ἐγκέφαλος δὲ
the-point eager broke the-bone the-brain and
ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα.
inside all was-spattered he-subdued and him eager
Ἱπποδάμαντα δ' ἔπειτα καθ' ἵππων ἀΐξαντα,
Hippodamas and then from the-horses leaping-down
πρόσθεν ἔθεν φεύγοντα, μετάφρενον οὔτασε δουρί.
before him fleeing in-the-back wounded with-the-spear

αὐτὰρ ὁ θυμὸν ἄϊσθε καὶ ἤρυγεν, ὡς ὅτε ταῦρος
but he the-life breathed-out and bellowed as when a-bull
ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ἄνακτα
bellows dragged the-Heliconian around lord
κούρων ἑλκόντων· γάνυται δέ τε τοῖς ἐνοσίχθων·
young-men dragging rejoices and — in-them the-earth-shaker
ὣς ἄρα τόν γ' ἐρυγόντα λίπ' ὀστέα θυμὸς ἀγήνωρ·
so then him indeed bellowing left the-bones the-spirit proud
αὐτὰρ ὁ βῆ σὺν δουρὶ μετ' ἀντίθεον Πολύδωρον
but he went with spear after godlike Polydorus
Πριαμίδην. τὸν δ' οὔ τι πατὴρ εἴασκε μάχεσθαι,
son-of-Priam him and not at-all father allowed to-fight
οὕνεκά οἱ μετὰ παισὶ νεώτατος ἔσκε γόνοιο,
because to-him among the-sons youngest he-was of-the-offspring
καί οἱ φίλτατος ἔσκε, πόδεσσι δὲ πάντας ἐνίκα·
and to-him dearest he-was with-feet and all he-surpassed
δὴ τότε νηπιέῃσι ποδῶν ἀρετὴν ἀναφαίνων
indeed then in-childishness of-feet the-excellence displaying
θῦνε διὰ προμάχων, ἧος φίλον ὤλεσε θυμόν.
he-rushed through the-champions until his-dear he-lost life
τὸν βάλε μέσσον ἄκοντι ποδάρκης δῖος Ἀχιλλεὺς
him hit in-the-middle with-a-javelin swift-footed noble Achilles
νῶτα παραΐσσοντος, ὅθι ζωστῆρος ὀχῆες
the-back darting-past where of-the-belt the-clasps
χρύσειοι σύνεχον καὶ διπλόος ἤντετο θώρηξ·
golden held-together and double met the-corselet
ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλὸν ἔγχεος αἰχμή,
straight-through and passed by the-navel of-the-spear the-point

γνὺξ δ' ἔριπ' οἰμώξας, νεφέλη δέ μιν ἀμφεκάλυψε
to-the-knee and he-fell groaning a-cloud and him covered
κυανέη, προτὶ οἷ δὲ λάβ' ἔντερα χερσὶ λιασθείς.
dark to himself and held the-entrails with-hands sinking

XX.6 · ACHILLES' RAMPAGE

Hector sees Polydorus fall and comes against Achilles, who exults that the man who killed his friend is near. Athena blows Hector's spear back, and Apollo snatches Hector away in a mist. Achilles strikes three times at the mist and shouts that Apollo has saved him again. He kills Dryops, Demuchus, Laogonus, Dardanus, Tros, who clasps his knees, Mulius, Echeclus, Deucalion, Rhigmus, and Areithous. He rages like fire in a dry glen, and his horses trample corpses and shields.

Ἕκτωρ δ' ὡς ἐνόησε κασίγνητον Πολύδωρον
Hector and when he-saw his-brother Polydorus
ἔντερα χερσὶν ἔχοντα, λιαζόμενον ποτὶ γαίῃ,
the-entrails in-hands holding sinking to the-ground
κάρ ῥά οἱ ὀφθαλμῶν κέχυτ' ἀχλύς· οὐδ' ἄρ' ἔτ' ἔτλη
down then his eyes was-poured mist nor then any-longer dared
δηρὸν ἑκὰς στρωφᾶσθ', ἀλλ' ἀντίος ἦλθ' Ἀχιλῆϊ
long far-off to-range but against came Achilles
ὀξὺ δόρυ κραδάων, φλογὶ εἴκελος· αὐτὰρ Ἀχιλλεὺς
sharp spear brandishing to-flame like but Achilles
ὡς εἶδ', ὡς ἀνεπᾶλτο, καὶ εὐχόμενος ἔπος ηὔδα·
as he-saw so leapt-up and boasting word spoke
"ἐγγὺς ἀνὴρ ὃς ἐμόν γε μάλιστ' ἐσεμάσσατο θυμόν,
near the-man who my indeed most touched heart

ὅς μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδ' ἂν ἔτι δὴν
who my comrade slew honored nor — any-longer long
ἀλλήλους πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρας."
each-other would-we-shrink-from along of-war the-bridges
Ἦ, καὶ ὑπόδρα ἰδὼν προσεφώνεεν Ἕκτορα δῖον·
He-spoke and from-under looking addressed Hector noble
"ἆσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι."
nearer come so-that — sooner of-destruction the-ends you-may-reach
Τὸν δ' οὐ ταρβήσας προσέφη κορυθαίολος Ἕκτωρ·
Him and not daunted addressed helmet-flashing Hector
"Πηλεΐδη, μὴ δή μ' ἐπέεσσί γε νηπύτιον ὡς
son-of-Peleus not indeed me with-words indeed a-child like
ἔλπεο δειδίξεσθαι, ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
hope to-frighten since clearly I-know also myself
ἠμὲν κερτομίας ἠδ' αἴσυλα μυθήσασθαι.
both taunts and insults to-speak
οἶδα δ' ὅτι σὺ μὲν ἐσθλός, ἐγὼ δὲ σέθεν πολὺ χείρων.
I-know and that you indeed brave I but than-you much worse
ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
but truly indeed these-things of-the-gods on knees lie
αἴ κέ σε χειρότερός περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι
whether — you worse indeed being away life I-shall-take
δουρὶ βαλών, ἐπεὶ ἦ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθεν."
with-spear hitting since truly also my dart sharp before
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δόρυ, καὶ τό γ' Ἀθήνη
He-spoke then and poising sent-forth the-spear and it indeed Athena
πνοιῇ Ἀχιλλῆος πάλιν ἔτραπε κυδαλίμοιο,
with-a-breath from-Achilles back turned glorious
ἦκα μάλα ψύξασα· τὸ δ' ἂψ ἵκεθ' Ἕκτορα δῖον,
gently very blowing it and back reached Hector noble

αὐτοῦ δὲ προπάροιθε ποδῶν πέσεν. αὐτὰρ Ἀχιλλεὺς
there and before feet fell but Achilles
ἐμμεμαὼς ἐπόρουσε κατακτάμεναι μενεαίνων,
eager rushed-on to-kill eager
σμερδαλέα ἰάχων· τὸν δ' ἐξήρπαξεν Ἀπόλλων
terribly shouting him and snatched-away Apollo
ῥεῖα μάλ' ὥς τε θεός, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ.
easily very as — a-god covered and then in-mist much
τρὶς μὲν ἔπειτ' ἐπόρουσε ποδάρκης δῖος Ἀχιλλεὺς
thrice indeed then he-rushed swift-footed noble Achilles
ἔγχεϊ χαλκείῳ, τρὶς δ' ἠέρα τύψε βαθεῖαν.
with-spear bronze thrice and the-mist struck deep
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
but when indeed the fourth-time he-rushed to-a-divinity equal
δεινὰ δ' ὁμοκλήσας ἔπεα πτερόεντα προσηύδα·
dreadfully and shouting words winged addressed
"ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον· ἦ τέ τοι ἄγχι
out again now you-escaped death dog truly — to-you near
ἦλθε κακόν· νῦν αὖτέ σ' ἐρύσατο Φοῖβος Ἀπόλλων,
came evil now again you saved Phoebus Apollo
ᾧ μέλλεις εὔχεσθαι ἰὼν ἐς δοῦπον ἀκόντων.
to-whom you-must pray going into the-thud of-javelins
ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
truly truly you I-will-finish-off indeed even later meeting
εἴ πού τις καὶ ἔμοιγε θεῶν ἐπιτάρροθός ἐστι.
if somewhere any also to-me of-gods helper is
νῦν αὖ τοὺς ἄλλους ἐπιείσομαι, ὅν κε κιχείω."
now again the others I-will-go-after whom — I-overtake

Ὣς εἰπὼν Δρύοπ᾽ οὖτα κατ᾽ αὐχένα μέσσον ἄκοντι·
So having-spoken Dryops he-wounded on the-neck middle with-a-javelin
ἤριπε δὲ προπάροιθε ποδῶν· ὁ δὲ τὸν μὲν ἔασε,
he-fell and before the-feet he and him indeed let-be
Δημοῦχον δὲ Φιλητορίδην, ἠΰν τε μέγαν τε,
Demuchus and son-of-Philetor good both tall and
κὰγ γόνυ δουρὶ βαλὼν ἠρύκακε. τὸν μὲν ἔπειτα
on the-knee with-spear hitting stopped him indeed then
οὐτάζων ξίφεϊ μεγάλῳ ἐξαίνυτο θυμόν·
wounding with-sword great took-away the-life
αὐτὰρ ὁ Λαόγονον καὶ Δάρδανον, υἷε Βίαντος,
but he Laogonus and Dardanus sons of-Bias
ἄμφω ἐφορμηθεὶς ἐξ ἵππων ὦσε χαμᾶζε,
both rushing-at from the-horses thrust to-the-ground
τὸν μὲν δουρὶ βαλών, τὸν δὲ σχεδὸν ἄορι τύψας.
the-one indeed with-spear hitting the-other and near with-sword striking
Τρῶα δ᾽ Ἀλαστορίδην, — ὁ μὲν ἀντίος ἦλυθε γούνων,
Tros and son-of-Alastor he indeed facing came to-the-knees
εἴ πώς εὐ πεφίδοιτο λαβὼν καὶ ζωὸν ἀφείη,
if somehow him he-might-spare taking and alive let-go
μηδὲ κατακτείνειεν ὁμηλικίην ἐλεήσας,
nor kill his-age-fellow pitying
νήπιος, οὐδὲ τὸ ᾔδη, ὃ οὐ πείσεσθαι ἔμελλεν·
fool nor this knew that not to-be-persuaded he-was
οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν οὐδ᾽ ἀγανόφρων,
not for at-all sweet-tempered man he-was nor gentle-minded
ἀλλὰ μάλ᾽ ἐμμεμαώς· ὁ μὲν ἥπτετο χείρεσι γούνων
but very eager he indeed touched with-hands the-knees
ἱέμενος λίσσεσθ᾽, ὁ δὲ φασγάνῳ οὖτα καθ᾽ ἧπαρ·
eager to-beg he but with-sword wounded on the-liver

ἐκ δέ οἱ ἦπαρ ὄλισθεν, ἀτὰρ μέλαν αἷμα κατ᾽ αὐτοῦ
out and his liver slipped but black blood down it
κόλπον ἐνέπλησεν· τὸν δὲ σκότος ὄσσε κάλυψε
the-bosom filled him and darkness the-eyes covered
θυμοῦ δευόμενον· ὁ δὲ Μούλιον οὗτα παραστὰς
of-life lacking he and Mulius wounded standing-by
δουρὶ κατ᾽ οὖς· εἶθαρ δὲ δι᾽ οὔατος ἦλθ᾽ ἑτέροιο
with-spear on the-ear at-once and through ear went the-other
αἰχμὴ χαλκείη· ὁ δ᾽ Ἀγήνορος υἱὸν Ἔχεκλον
the-point bronze he and of-Agenor son Echeclus
μέσσην κὰκ κεφαλὴν ξίφει ἤλασε κωπήεντι,
middle on the-head with-sword struck hilted
πᾶν δ᾽ ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ᾽ ὄσσε
all and was-warmed the-sword with-blood him and down the-eyes
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
seized purple death and fate mighty
Δευκαλίωνα δ᾽ ἔπειθ᾽, ἵνα τε ξυνέχουσι τένοντες
Deucalion and then where — hold-together the-sinews
ἀγκῶνος, τῇ τόν γε φίλης διὰ χειρὸς ἔπειρεν
of-the-elbow there him indeed dear through arm he-pierced
αἰχμῇ χαλκείῃ· ὁ δέ μιν μένε χεῖρα βαρυνθείς,
with-point bronze he and him awaited in-arm weighed-down
πρόσθ᾽ ὁρόων θάνατον· ὁ δὲ φασγάνῳ αὐχένα θείνας
before seeing death he and with-sword the-neck striking
τῆλ᾽ αὐτῇ πήληκι κάρη βάλε· μυελὸς αὖτε
far with-the-very helmet the-head cast the-marrow in-turn
σφονδυλίων ἔκπαλθ᾽, ὁ δ᾽ ἐπὶ χθονὶ κεῖτο τανυσθείς.
from-the-vertebrae spurted he and on the-ground lay stretched
αὐτὰρ ὁ βῆ ῥ᾽ ἰέναι μετ᾽ ἀμύμονα Πείρεω υἱόν,
but he went then to-go after the-blameless of-Peires son

Ῥίγμον, ὃς ἐκ Θρῃκης ἐριβώλακος εἰληλούθει·
Rhigmus who from Thrace deep-soiled had-come
τὸν βάλε μέσσον ἄκοντι, πάγη δ' ἐν νηδύϊ χαλκός,
him he-hit in-the-middle with-a-javelin was-fixed and in belly bronze
ἤριπε δ' ἐξ ὀχέων· ὁ δ' Ἀρηΐθοον θεράποντα
he-fell and from the-chariot he and Areïthous the-attendant
ἂψ ἵππους στρέψαντα μετάφρενον ὀξέϊ δουρὶ
back the-horses turning in-the-back with-sharp spear
νύξ', ἀπὸ δ' ἅρματος ὦσε· κυκήθησαν δέ οἱ ἵπποι.
stabbed from and the-chariot thrust were-thrown-into-confusion and his horses
Ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ
As and rages through-deep glens wondrous fire
οὔρεος ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
of-a-mountain parched deep and burns the-forest
πάντῃ τε κλονέων ἄνεμος φλόγα εἰλυφάζει,
everywhere and driving the-wind the-flame whirls
ὣς ὅ γε πάντῃ θοῦνε σὺν ἔγχεϊ δαίμονι ἶσος
so he indeed everywhere raged with spear to-a-divinity equal
κτεινομένους ἐφέπων· ῥέε δ' αἵματι γαῖα μέλαινα.
the-slain pursuing flowed and with-blood the-earth black
ὡς δ' ὅτε τις ζεύξῃ βόας ἄρσενας εὐρυμετώπους
as and when one yokes oxen male broad-browed
τριβέμεναι κρῖ λευκὸν ἐϋκτιμένῃ ἐν ἀλωῇ,
to-tread barley white well-laid in threshing-floor
ῥίμφα τε λέπτ' ἐγένοντο βοῶν ὑπὸ πόσσ' ἐριμύκων,
quickly and husked they-become of-the-oxen under the-feet loud-bellowing

ὣς ὑπ᾽ Ἀχιλλῆος μεγαθύμου μώνυχες ἵπποι
so under Achilles great-hearted the-single-hoofed horses
στεῖβον ὁμοῦ νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ᾽ ἄξων
trampled together corpses both and shields with-blood and the-axle
νέρθεν ἅπας πεπάλακτο καὶ ἄντυγες αἳ περὶ δίφρον,
below all was-spattered and the-rails which around the-car
ἃς ἄρ᾽ ἀφ᾽ ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον
which then from the-horses' hooves drops struck
αἵ τ᾽ ἀπ᾽ ἐπισσώτρων· ὁ δὲ ἵετο κῦδος ἀρέσθαι
those and from the-tires he and was-eager glory to-win
Πηλεΐδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους.
the-son-of-Peleus with-gore and was-spattered hands invincible

BOOK XXI

XXI.1 · THE ROUT INTO THE RIVER

At the ford of Xanthus Achilles splits the Trojans. Half flee toward the city across the plain, where Hera spreads mist before them; half are driven into the river, where they swim and cry out like locusts fleeing a fire. Achilles leaves his spear on the bank and leaps in with his sword, killing on every side, and takes twelve young men alive as the blood-price for Patroclus, binds them, and sends them to the ships.

Ἀλλ᾽ ὅτε δὴ πόρον ἶξον ἐϋρρεῖος ποταμοῖο,
But when indeed the-ford they-reached of-the-fair-flowing river
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
of-Xanthus eddying whom immortal begot Zeus
ἔνθα διατμήξας τοὺς μὲν πεδίονδε δίωκε
there splitting(-them) them indeed to-the-plain he-chased
πρὸς πόλιν, ᾗ περ Ἀχαιοὶ ἀτυζόμενοι φοβέοντο
toward the-city where indeed the-Achaeans driven-in-panic fled
ἤματι τῷ προτέρῳ, ὅτε μαίνετο φαίδιμος Ἕκτωρ·
on-day the former when raged glorious Hector
τῇ ῥ᾽ οἵ γε προχέοντο πεφυζότες, ἠέρα δ᾽ Ἥρη
there then they indeed poured-forward fleeing a-mist and Hera
πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν· ἡμίσεες δὲ
spread before deep to-hold(-them)-back half and
ἐς ποταμὸν εἰλεῦντο βαθύρροον ἀργυροδίνην,
into the-river were-penned deep-flowing silver-eddying
ἐν δ᾽ ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ᾽ αἰπὰ ῥέεθρα,
in and they-fell with-great clatter roared and the-steep streams

ὄχθαι δ' ἀμφὶ περὶ μεγάλ' ἴαχον· οἱ δ' ἀλαλητῷ
the-banks and about around greatly echoed they and with-shouting
ἔννεον ἔνθα καὶ ἔνθα ἑλισσόμενοι περὶ δίνας.
swam this-way and that whirled around the-eddies
ὡς δ' ὅθ' ὑπὸ ῥιπῆς πυρὸς ἀκρίδες ἠερέθονται
as and when under the-rush of-fire locusts hover
φευγέμεναι ποταμόνδε· τὸ δὲ φλέγει ἀκάματον πῦρ
fleeing to-the-river it and blazes untiring fire
ὄρμενον ἐξαίφνης, ταὶ δὲ πτώσσουσι καθ' ὕδωρ·
rising suddenly they and cower in water
ὣς ὑπ' Ἀχιλλῆος Ξάνθου βαθυδινήεντος
so under Achilles of-Xanthus deep-eddying
πλῆτο ῥόος κελάδων ἐπιμὶξ ἵππων τε καὶ ἀνδρῶν.
was-filled the-stream sounding pell-mell of-horses both and men

Αὐτὰρ ὁ διογενὴς δόρυ μὲν λίπεν αὐτοῦ ἐπ' ὄχθῃ
But he the-Zeus-born the-spear indeed left there on the-bank
κεκλιμένον μυρίκῃσιν, ὁ δ' ἔσθορε δαίμονι ἶσος
leaning on-tamarisks he and leapt-in to-a-divinity equal
φάσγανον οἷον ἔχων, κακὰ δὲ φρεσὶ μήδετο ἔργα,
sword alone holding evil and in-mind devised deeds
τύπτε δ' ἐπιστροφάδην· τῶν δὲ στόνος ὄρνυτ' ἀεικὴς
struck and turning-every-way of-them and groaning rose unseemly
ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι ὕδωρ.
by-sword being-struck was-reddened and with-blood the-water
ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι
as and under a-dolphin huge fishes other
φεύγοντες πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου,
fleeing fill the-recesses of-a-harbor good-anchored
δειδιότες· μάλα γάρ τε κατεσθίει ὅν κε λάβῃσιν·
fearing very for — it-devours whom — it-catches

ὣς Τρῶες ποταμοῖο κατὰ δεινοῖο ῥέεθρα
so the-Trojans of-the-river along dread the-streams
πτῶσσον ὑπὸ κρημνούς. ὁ δ' ἐπεὶ κάμε χεῖρας ἐναίρων,
cowered under the-banks he and when tired the-hands slaying
ζωοὺς ἐκ ποταμοῖο δυώδεκα λέξατο κούρους
alive from the-river twelve chose young-men
ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντος.
the-price of-Patroclus of-the-son-of-Menoetius dead
τοὺς ἐξῆγε θύραζε τεθηπότας ἠΰτε νεβρούς,
them he-led out-of-doors dazed like fawns
δῆσε δ' ὀπίσσω χεῖρας ἐϋτμήτοισιν ἱμᾶσι,
bound and behind the-hands with-well-cut thongs
τοὺς αὐτοὶ φορέεσκον ἐπὶ στρεπτοῖσι χιτῶσι,
which themselves wore on twisted tunics
δῶκε δ' ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας.
gave and to-comrades to-lead-down hollow to ships
αὐτὰρ ὁ ἂψ ἐπόρουσε δαϊζέμεναι μενεαίνων.
but he back rushed to-slay eager

Achilles meets Lycaon, a son of Priam he once sold in Lemnos, who clasps his knees and begs for his life. Now, Achilles answers, none will escape. He kills him, throws him into the river for the fish, and exults over the Trojans.

Ἔνθ᾽ υἱὶ Πριάμοιο συνήντετο Δαρδανίδαο
Then the-son of-Priam he-met son-of-Dardanus
ἐκ ποταμοῦ φεύγοντι, Λυκάονι, τόν ῥά ποτ᾽ αὐτὸς
from the-river fleeing Lycaon whom then once himself
ἦγε λαβὼν ἐκ πατρὸς ἀλωῆς οὐκ ἐθέλοντα,
led taking from father's orchard not willing
ἐννύχιος προμολών· ὁ δ᾽ ἐρινεὸν ὀξέϊ χαλκῷ
by-night coming-on he and a-fig-tree with-sharp bronze
τάμνε νέους ὄρπηκας, ἵν᾽ ἅρματος ἄντυγες εἶεν·
was-cutting young shoots that of-a-chariot rails they-might-be
τῷ δ᾽ ἄρ᾽ ἀνώϊστον κακὸν ἦλυθε δῖος Ἀχιλλεύς.
to-him and then an-unforeseen evil came noble Achilles
καὶ τότε μέν μιν Λῆμνον ἐϋκτιμένην ἐπέρασσε
and then indeed him to-Lemnos well-built sold
νηυσὶν ἄγων, ἀτὰρ υἱὸς Ἰήσονος ὦνον ἔδωκε·
in-ships leading but the-son of-Jason price gave
κεῖθεν δὲ ξεῖνός μιν ἐλύσατο, πολλὰ δ᾽ ἔδωκεν,
thence and a-guest him ransomed much and he-gave
Ἴμβριος Ἠετίων, πέμψεν δ᾽ ἐς δῖαν Ἀρίσβην·
Imbrian Eetion sent and to bright Arisbe
ἔνθεν ὑπεκπροφυγὼν πατρώϊον ἵκετο δῶμα.
thence escaping his-father's he-reached house

ἔνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν
eleven and days the-heart he-delighted with-his friends
ἐλθὼν ἐκ Λήμνοιο· δυωδεκάτῃ δέ μιν αὖτις
coming from Lemnos on-the-twelfth and him again
χερσὶν Ἀχιλλῆος θεὸς ἔμβαλεν, ὅς μιν ἔμελλε
into-hands of-Achilles a-god cast who him was-to
πέμψειν εἰς Ἄϊδαο καὶ οὐκ ἐθέλοντα νέεσθαι.
send to of-Hades even not willing to-go
τὸν δ' ὡς οὖν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεὺς
him and when then noticed swift-footed noble Achilles
γυμνόν, ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ' ἔχεν ἔγχος,
unarmed without helmet both and shield nor had-he a-spear
ἀλλὰ τὰ μέν ῥ' ἀπὸ πάντα χαμαὶ βάλε· τεῖρε γὰρ ἱδρὼς
but them indeed then away all to-the-ground he-had-cast distressed for sweat
φεύγοντ' ἐκ ποταμοῦ, κάματος δ' ὑπὸ γούνατ' ἐδάμνα·
fleeing from the-river weariness and beneath the-knees subdued
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
vexed and then he-said to his great-hearted spirit
"ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
oh for-shame truly great wonder this with-eyes I-see
ἦ μάλα δὴ Τρῶες μεγαλήτορες, οὕς περ ἔπεφνον,
truly very indeed the-Trojans great-hearted whom indeed I-slew
αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος,
again will-rise from-under the-gloom misty
οἷον δὴ καὶ ὅδ' ἦλθε φυγὼν ὕπο νηλεὲς ἦμαρ,
how indeed also this-one has-come escaping from the-pitiless day
Λῆμνον ἐς ἠγαθέην πεπερημένος· οὐδέ μιν ἔσχε
Lemnos to sacred sold nor him held
πόντος ἁλὸς πολιῆς, ὅ πολέας ἀέκοντας ἐρύκει.
the-expanse of-the-sea gray which many unwilling holds-back

ἀλλ᾽ ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο
but come indeed also of-the-spear the-point our
γεύσεται, ὄφρα ἴδωμαι ἐνὶ φρεσὶν ἠδὲ δαείω
let-him-taste so-that I-may-see in mind and learn
ἦ ἄρ᾽ ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἦ μιν ἐρύξει
whether then likewise also from-there he-will-come or him will-hold
γῆ φυσίζοος, ἥ τε κατὰ κρατερόν περ ἐρύκει.᾽᾽
the-earth life-giving which — down the-mighty indeed holds
Ὣς ὥρμαινε μένων· ὁ δέ οἱ σχεδὸν ἦλθε τεθηπὼς
So pondered waiting he and him near came dazed
γούνων ἅψασθαι μεμαώς, περὶ δ᾽ ἤθελε θυμῷ
the-knees to-touch eager beyond and he-wished in-heart
ἐκφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν.
to-escape death both evil and doom black
ἤτοι ὁ μὲν δόρυ μακρὸν ἀνέσχετο δῖος Ἀχιλλεὺς
truly he indeed the-spear long held-up noble Achilles
οὐτάμεναι μεμαώς, ὁ δ᾽ ὑπέδραμε καὶ λάβε γούνων
to-wound eager he and ran-under and took the-knees
κύψας· ἐγχείη δ᾽ ἄρ᾽ ὑπὲρ νώτου ἐνὶ γαίῃ
stooping the-spear and then over the-back in the-earth
ἔστη, ἱεμένη χροὸς ἄμενai ἀνδρομέοιο.
stood eager of-flesh to-glut-itself human
αὐτὰρ ὁ τῇ ἑτέρῃ μὲν ἑλὼν ἐλλίσσετο γούνων,
but he with-the one indeed taking begged by-the-knees
τῇ δ᾽ ἑτέρῃ ἔχεν ἔγχος ἀκαχμένον οὐδὲ μεθίει·
with-the and other held the-spear sharpened nor let-go
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
“γουνοῦμαί σ᾽, Ἀχιλεῦ· σὺ δέ μ᾽ αἴδεο καί μ᾽ ἐλέησον·
I-entreat you Achilles you and me respect and me pity

ἀντί τοί εἰμ᾽ ἱκέταο, διοτρεφές, αἰδοίοιο·
in-place-of to-you I-am of-a-suppliant Zeus-nurtured revered
πὰρ γὰρ σοὶ πρώτῳ πασάμην Δημήτερος ἀκτήν,
with for you first I-tasted of-Demeter the-grain
ἤματι τῷ ὅτε μ᾽ εἷλες ἐϋκτιμένῃ ἐν ἀλωῇ,
on-day that when me you-took well-laid in orchard
καί με πέρασσας ἄνευθεν ἄγων πατρός τε φίλων τε
and me you-sold apart leading father both friends and
Λῆμνον ἐς ἠγαθέην, ἑκατόμβοιον δέ τοι ἦλφον.
Lemnos to sacred worth-a-hundred-oxen and for-you I-fetched
νῦν δὲ λύμην τρὶς τόσσα πορών· ἠὼς δέ μοί ἐστιν
now and I-was-ransomed thrice so-much having-paid the-dawn and for-me is
ἥδε δυωδεκάτη, ὅτ᾽ ἐς Ἴλιον εἰλήλουθα
this the-twelfth since to Ilium I-came
πολλὰ παθών· νῦν αὖ με τεῇς ἐν χερσὶν ἔθηκε
much having-suffered now again me your into hands has-put
μοῖρ᾽ ὀλοή· μέλλω που ἀπεχθέσθαι Διὶ πατρί,
fate deadly I-must surely be-hated by-Zeus father
ὅς με σοὶ αὖτις δῶκε· μινυνθάδιον δέ με μήτηρ
who me to-you again has-given short-lived and me mother
γείνατο Λαοθόη, θυγάτηρ Ἄλταο γέροντος,
bore Laothoe daughter of-Altes old-man
Ἄλτεω, ὃς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει
of-Altes who over-the-Leleges war-loving rules
Πήδασον αἰπήεσσαν ἔχων ἐπὶ Σατνιόεντι.
Pedasus steep holding on the-Satnioeis
τοῦ δ᾽ ἔχε θυγατέρα Πρίαμος, πολλὰς δὲ καὶ ἄλλας·
his and had the-daughter Priam many and also others
τῆς δὲ δύω γενόμεσθα, σὺ δ᾽ ἄμφω δειροτομήσεις.
of-her and two we-were-born you and both will-behead

ἤτοι τὸν πρώτοισι μετὰ πρυλέεσσι δάμασσας,
truly him the-foremost among foot-soldiers you-subdued
ἀντίθεον Πολύδωρον, ἐπεὶ βάλες ὀξέϊ δουρί·
godlike Polydorus when you-hit with-sharp spear
νῦν δὲ δὴ ἐνθάδ' ἐμοὶ κακὸν ἔσσεται· οὐ γὰρ ὀΐω
now and indeed here to-me evil will-be not for I-think
σὰς χεῖρας φεύξεσθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων.
your hands to-escape since then has-brought-me-near indeed a-divinity
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι·
other and to-you I-will-say you and in mind lay(-it) your
μή με κτεῖν', ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι,
not me kill since not of-the-same-womb with-Hector I-am
ὅς τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε κρατερόν τε."
who your comrade slew gentle both strong and
Ὣς ἄρα μιν Πριάμοιο προσηύδα φαίδιμος υἱὸς
So then him of-Priam addressed the-glorious son
λισσόμενος ἐπέεσσιν, ἀμείλικτον δ' ὄπ' ἄκουσε·
begging with-words unrelenting and the-voice he-heard
"νήπιε, μή μοι ἄποινα πιφαύσκεο μηδ' ἀγόρευε·
fool not to-me ransom offer nor speak
πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπεῖν αἴσιμον ἦμαρ,
before indeed for Patroclus to-meet the-fated day
τόφρά τί μοι πεφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦεν
so-long somewhat to-me to-spare in mind dearer was
Τρώων, καὶ πολλοὺς ζωοὺς ἕλον ἠδὲ πέρασσα·
of-the-Trojans and many alive I-took and I-sold
νῦν δ' οὐκ ἔσθ' ὅς τις θάνατον φύγῃ, ὅν κε θεός γε
now but not is-it who any death shall-escape whom — a-god indeed
Ἰλίου προπάροιθεν ἐμῇς ἐν χερσὶ βάλῃσι,
Ilium before my into hands casts

καὶ πάντων Τρώων, πέρι δ' αὖ Πριάμοιό γε παίδων.
and of-all Trojans above and again of-Priam indeed the-sons
ἀλλά, φίλος, θάνε καὶ σύ· τίη ὀλοφύρεαι οὕτως;
but friend die also you why do-you-lament thus
κάτθανε καὶ Πάτροκλος, ὅ περ σέο πολλὸν ἀμείνων.
died also Patroclus who indeed than-you far better
οὐχ ὁράᾳς οἷος καὶ ἐγὼ καλός τε μέγας τε;
not do-you-see what-sort also I fair both tall and
πατρὸς δ' εἴμ' ἀγαθοῖο, θεὰ δέ με γείνατο μήτηρ·
of-father and I-am noble a-goddess and me bore mother
ἀλλ' ἔπι τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιή·
but over-me you-know also me death and fate mighty
ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ,
will-be either dawn or evening or mid day
ὁππότε τις καὶ ἐμεῖο Ἄρῃ ἐκ θυμὸν ἕληται,
when some also of-me in-war out life takes
ἢ ὅ γε δουρὶ βαλὼν ἢ ἀπὸ νευρῆφιν ὀϊστῷ."
either he indeed with-spear hitting or from the-string with-an-arrow
Ὣς φάτο, τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ·
So he-spoke of-him and there were-loosed the-knees and dear heart
ἔγχος μέν ῥ' ἀφέηκεν, ὁ δ' ἕζετο χεῖρε πετάσσας
the-spear indeed then he-let-go he and sat hands spreading
ἀμφοτέρας· Ἀχιλεὺς δὲ ἐρυσσάμενος ξίφος ὀξὺ
both Achilles and drawing sword sharp
τύψε κατὰ κληῖδα παρ' αὐχένα, πᾶν δέ οἱ εἴσω
struck on the-collarbone by the-neck all and his within
δῦ ξίφος ἄμφηκες· ὁ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ
sank the-sword two-edged he and then headlong on the-earth
κεῖτο ταθείς, ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
lay stretched out and blood black flowed wetted and the-earth

τὸν δ' Ἀχιλεὺς ποταμόνδε λαβὼν ποδὸς ἧκε φέρεσθαι,
him and Achilles to-the-river taking by-the-foot sent to-be-carried
καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντ' ἀγόρευεν·
and over-him boasting words winged spoke
"ἐνταυθοῖ νῦν κεῖσο μετ' ἰχθύσιν, οἵ σ' ὠτειλὴν
there now lie among fishes who your wound
αἶμ' ἀπολιχμήσονται ἀκηδέες· οὐδέ σε μήτηρ
the-blood will-lick-off uncaring nor you mother
ἐνθεμένη λεχέεσσι γοήσεται, ἀλλὰ Σκάμανδρος
laying on-a-bier will-wail but Scamander
οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον.
will-carry eddying into of-the-sea the-broad bosom
θρῴσκων τις κατὰ κῦμα μέλαιναν φρῖχ' ὑπαΐξει
leaping some along the-wave the-dark ripple will-dart-under
ἰχθύς, ὅς κε φάγῃσι Λυκάονος ἀργέτα δημόν.
a-fish which — will-eat of-Lycaon the-white fat
φθείρεσθ', εἰς ὅ κεν ἄστυ κιχείομεν Ἰλίου ἱρῆς,
perish until the-time — the-town we-reach of-Ilium sacred
ὑμεῖς μὲν φεύγοντες, ἐγὼ δ' ὄπιθεν κεραΐζων.
you indeed fleeing I and behind ravaging
οὐδ' ὑμῖν ποταμός περ ἐΰρροος ἀργυροδίνης
not-even you the-river indeed fair-flowing silver-eddying
ἀρκέσει, ᾧ δὴ δηθὰ πολέας ἱερεύετε ταύρους,
will-help to-which indeed long many you-sacrifice bulls
ζωοὺς δ' ἐν δίνῃσι καθίετε μώνυχας ἵππους.
alive and into the-eddies throw the-single-hoofed horses

ἀλλὰ καὶ ὣς ὀλέεσθε κακὸν μόρον, εἰς ὅ κε πάντες
but even so you-will-perish evil death until the-time — all
τείσετε Πατρόκλοιο φόνον καὶ λοιγὸν Ἀχαιῶν,
pay-for of-Patroclus the-slaughter and the-ruin of-the-Achaeans
οὓς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνετε νόσφιν ἐμεῖο.” 135
whom at the-ships swift you-slew apart-from me

XXI.3 · ASTEROPAEUS

The angry river puts courage in Asteropaeus, son of Pelegon and grandson of the river Axius. He throws two spears at once: one strikes Achilles' shield, and one grazes his arm. Achilles' spear misses and sticks in the bank. As Asteropaeus tries to pull it out, Achilles kills him with his sword. He boasts that the race of Zeus is stronger than the race of rivers, and leaves the body to the eels and fish. He kills the Paeonians Thersilochus, Mydon, Astypylus, Mnesus, Thrasius, Aenius, and Ophelestes.

Ὣς ἄρ’ ἔφη, ποταμὸς δὲ χολώσατο κηρόθι μᾶλλον,
So then he-spoke the-river and was-angered in-heart more
ὅρμηνεν δ’ ἀνὰ θυμὸν ὅπως παύσειε πόνοιο
pondered and in heart how he-might-stop from-toil
δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
noble Achilles from-the-Trojans and ruin ward-off
τόφρα δὲ Πηλέος υἱὸς ἔχων δολιχόσκιον ἔγχος
meanwhile and of-Peleus the-son holding long-shadowed spear
Ἀστεροπαίῳ ἐπᾶλτο κατακτάμεναι μενεαίνων, 140
at-Asteropaeus leapt to-kill eager

υἱέϊ Πηλεγόνος· τὸν δ' Ἀξιὸς εὐρυρέεθρος
the-son of-Pelegon him and Axius wide-flowing
γείνατο καὶ Περίβοια, Ἀκεσσαμενοῖο θυγατρῶν
begot and Peribοea of-Acessamenus of-the-daughters
πρεσβυτάτη· τῇ γάρ ῥα μίγη ποταμὸς βαθυδίνης.
the-eldest with-her for then lay the-river deep-eddying
τῷ ῥ' Ἀχιλεὺς ἐπόρουσεν, ὁ δ' ἀντίος ἐκ ποταμοῖο
at-him then Achilles leapt he and facing from the-river
ἔστη ἔχων δύο δοῦρε· μένος δέ οἱ ἐν φρεσὶ θῆκε
stood holding two spears might and in-him in mind put
Ξάνθος, ἐπεὶ κεχόλωτο δαϊκταμένων αἰζηῶν,
Xanthus since he-was-angered for-the-slain young-men
τοὺς Ἀχιλεὺς ἐδάϊζε κατὰ ῥόον οὐδ' ἐλέαιρεν.
whom Achilles slew along the-stream nor pitied
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
they and when indeed near were against each-other going
τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
him first addressed swift-footed noble Achilles
"τίς πόθεν εἰς ἀνδρῶν, ὅ μευ ἔτλης ἀντίος ἐλθεῖν;
who whence are-you of-men who me dared facing to-come
δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι."
of-wretched and — the-sons my might meet

Τὸν δ' αὖ Πηλεγόνος προσεφώνεε φαίδιμος υἱός·
Him and in-turn of-Pelegon addressed the-glorious son
"Πηλεΐδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις;
son-of-Peleus great-hearted why the-lineage do-you-ask
εἶμ' ἐκ Παιονίης ἐριβώλου, τηλόθ' ἐούσης,
I-am from Paeonia deep-soiled far being

Παίονας ἄνδρας ἄγων δολιχεγχέας· ἥδε δέ μοι νῦν
the-Paeonian men leading long-speared this and for-me now
ἠὼς ἑνδεκάτη, ὅτε Ἴλιον εἰλήλουθα.
dawn the-eleventh since to-Ilium I-came
αὐτὰρ ἐμοὶ γενεὴ ἐξ Ἀξιοῦ εὐρὺ ῥέοντος,
but for-me the-lineage from Axius wide flowing
Ἀξιοῦ, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν,
Axius who fairest water over the-earth sends
ὃς τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ· τὸν δ' ἐμέ φασι
who begot Pelegon famous with-the-spear him and me they-say
γείνασθαι· νῦν αὖτε μαχώμεθα, φαίδιμ' Ἀχιλλεῦ."
to-have-begotten now again let-us-fight glorious Achilles
Ὣς φάτ' ἀπειλήσας, ὁ δ' ἀνέσχετο δῖος Ἀχιλλεὺς
So he-spoke threatening he and held-up noble Achilles
Πηλιάδα μελίην· ὁ δ' ἁμαρτῇ δούρασιν ἀμφὶς
the-Pelian ash he and together with-spears both
ἥρως Ἀστεροπαῖος, ἐπεὶ περιδέξιος ἦεν.
the-hero Asteropaeus since ambidextrous he-was
καί ῥ' ἑτέρῳ μὲν δουρὶ σάκος βάλεν, οὐδὲ διαπρὸ
and then with-the-one indeed spear the-shield hit nor right-through
ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο·
broke the-shield the-gold for held-it-back the-gifts of-the-god
τῷ δ' ἑτέρῳ μιν πῆχυν ἐπιγράβδην βάλε χειρὸς
with-the and other him the-forearm grazing hit of-the-arm
δεξιτερῆς, σύτο δ' αἷμα κελαινεφές· ἡ δ' ὑπὲρ αὐτοῦ
right spurted and the-blood dark it and over him
γαίῃ ἐνεστήρικτο, λιλαιομένη χροὸς ἆσαι.
in-the-earth stuck longing of-flesh to-glut-itself

δεύτερος αὖτ' Ἀχιλεὺς μελίην ἰθυπτίωνα
second in-turn Achilles the-ash straight-flying
Ἀστεροπαίῳ ἐφῆκε κατακτάμεναι μενεαίνων.
at-Asteropaeus sent to-kill eager
καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν, ὁ δ' ὑψηλὴν βάλεν ὄχθην,
and him indeed then missed he and the-high hit bank
μεσσοπαγὲς δ' ἄρ' ἔθηκε κατ' ὄχθης μείλινον ἔγχος.
half-buried and then he-set in the-bank the-ashen spear
Πηλεΐδης δ' ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
the-son-of-Peleus and sword sharp drawing from-beside the-thigh
ἅλτ' ἐπί οἱ μεμαώς· ὁ δ' ἄρα μελίην Ἀχιλῆος
leapt at him eager he and then the-ash of-Achilles
οὐ δύνατ' ἐκ κρημνοῖο ἐρύσσαι χειρὶ παχείῃ.
not could from the-bank draw with-hand stout
τρὶς μέν μιν πελέμιξεν ἐρύσσασθαι μενεαίνων,
thrice indeed it he-shook to-draw eager
τρὶς δὲ μεθῆκε βίης· τὸ δὲ τέτρατον ἤθελε θυμῷ
thrice and he-gave-up from-force the and fourth-time he-wished in-heart
ἆξαι ἐπιγνάμψας δόρυ μείλινον Αἰακίδαο,
to-break bending the-spear ashen of-the-son-of-Aeacus
ἀλλὰ πρὶν Ἀχιλεὺς σχεδὸν ἄορι θυμὸν ἀπηύρα.
but before Achilles near with-the-sword of-life deprived
γαστέρα γάρ μιν τύψε παρ' ὀμφαλόν, ἐκ δ' ἄρα πᾶσαι
in-the-belly for him he-struck by the-navel out and then all
χύντο χαμαὶ χολάδες· τὸν δὲ σκότος ὄσσε κάλυψεν
poured to-the-ground the-bowels him and darkness the-eyes covered
ἀσθμαίνοντ'· Ἀχιλεὺς δ' ἄρ' ἐνὶ στήθεσσιν ὀρούσας
gasping Achilles and then on breast leaping
τεύχεά τ' ἐξενάριξε καὶ εὐχόμενος ἔπος ηὔδα·
the-arms and stripped and boasting word spoke

"κεῖσ' οὕτως· χαλεπόν τοι ἐρισθενέος Κρονίωνος
lie so hard for-you of-the-mighty son-of-Cronus
παισὶν ἐριζέμεναι ποταμοῖό περ ἐκγεγαῶτι.
with-the-sons to-strive of-a-river indeed born
φῆσθα σὺ μὲν ποταμοῦ γένος ἔμμεναι εὐρὺ ῥέοντος,
you-said you indeed of-a-river the-race to-be wide flowing
αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸς εὔχομαι εἶναι.
but I lineage of-great Zeus claim to-be
τίκτε μ' ἀνὴρ πολλοῖσιν ἀνάσσων Μυρμιδόνεσσι,
begot me a-man over-many ruling the-Myrmidons
Πηλεὺς Αἰακίδης· ὁ δ' ἄρ' Αἰακὸς ἐκ Διὸς ἦεν.
Peleus son-of-Aeacus he and then Aeacus from Zeus was
τῶ κρείσσων μὲν Ζεὺς ποταμῶν ἁλιμυρηέντων,
therefore stronger indeed Zeus than-rivers seaward-murmuring
κρείσσων αὖτε Διὸς γενεὴ ποταμοῖο τέτυκται.
stronger again of-Zeus the-race than-a-river is
καὶ γὰρ σοὶ ποταμός γε πάρα μέγας, εἰ δύναταί τι
and for for-you a-river indeed beside great if it-can at-all
χραισμεῖν· ἀλλ' οὐκ ἔστι Διὶ Κρονίωνι μάχεσθαι,
help but not is-it-possible with-Zeus son-of-Cronus to-fight
τῷ οὐδὲ κρείων Ἀχελώϊος ἰσοφαρίζει,
him not-even lord Achelous rivals
οὐδὲ βαθυρρείταο μέγα σθένος Ὠκεανοῖο,
nor of-deep-flowing the-great might of-Oceanus
ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
from whom indeed all rivers and all sea
καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν·
and all springs and wells deep flow

ἀλλὰ καὶ ὃς δείδοικε Διὸς μεγάλοιο κεραυνὸν
but even he fears of-Zeus great the-thunderbolt
δεινήν τε βροντήν, ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσῃ."
dread and thunder when from heaven it-crashes
Ἦ ῥα, καὶ ἐκ κρημνοῖο ἐρύσσατο χάλκεον ἔγχος,
He-spoke then and from the-bank drew the-bronze spear
τὸν δὲ κατ' αὐτόθι λεῖπεν, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
him and down there he-left since dear life he-took
κείμενον ἐν ψαμάθοισι, δίαινε δέ μιν μέλαν ὕδωρ.
lying in the-sands wetted and him black water
τὸν μὲν ἄρ' ἐγχέλυές τε καὶ ἰχθύες ἀμφεπένοντο,
him indeed then eels both and fishes tended
δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες·
the-fat nibbling about-the-kidneys tearing
αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετὰ Παίονας ἱπποκορυστάς,
but he went then to-go after the-Paeonians horse-marshaling
οἵ ῥ' ἔτι πὰρ ποταμὸν πεφοβήατο δινήεντα,
who then still by the-river were-routed eddying
ὡς εἶδον τὸν ἄριστον ἐνὶ κρατερῇ ὑσμίνῃ
when they-saw the best in mighty combat
χέρσ' ὕπο Πηλεΐδαο καὶ ἄορι ἶφι δαμέντα.
hands under of-the-son-of-Peleus and sword mightily subdued
ἔνθ' ἕλε Θερσίλοχόν τε Μύδωνά τε Ἀστύπυλόν τε
there he-took Thersilochus both Mydon and Astypylus and
Μνῆσόν τε Θρασίον τε καὶ Αἴνιον ἠδ' Ὀφελέστην·
Mnesus and Thrasius and and Aenius and Ophelestes

The river, in a man's form, speaks from the eddies and asks Achilles to do his killing on the plain, since the dead choke his streams. Achilles agrees, but he will not stop killing Trojans until he has penned them in the city and faced Hector. The river reproaches Apollo for neglecting the Trojans. When Achilles leaps in, the river rises against him. Achilles grasps a falling elm that bridges the stream and runs for the plain, but the wave overtakes him as water outruns a gardener cutting a channel.

καί νύ κ' ἔτι πλέονας κτάνε Παίονας ὠκὺς Ἀχιλλεύς,
and now — still more would-have-killed Paeonians swift Achilles
εἰ μὴ χωσάμενος προσέφη ποταμὸς βαθυδίνης,
if not angered addressed the-river deep-eddying
ἀνέρι εἰσάμενος, βαθέης δ' ἐκ φθέγξατο δίνης·
to-a-man likening-himself deep and from spoke the-eddy
"ὦ Ἀχιλεῦ, περὶ μὲν κρατέεις, περὶ δ' αἴσυλα ῥέζεις
O Achilles beyond indeed you-prevail beyond and wicked-deeds you-do
ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουσιν θεοὶ αὐτοί. 215
of-men always for you defend the-gods themselves
εἴ τοι Τρῶας ἔδωκε Κρόνου παῖς πάντας ὀλέσσαι,
if to-you the-Trojans has-given of-Cronus the-son all to-destroy
ἐξ ἐμέθεν γ' ἐλάσας πεδίον κάτα μέρμερα ῥέζε·
from me indeed driving the-plain over grim-deeds do
πλήθει γὰρ δή μοι νεκύων ἐρατειναὶ ῥέεθρα,
filled for indeed my with-corpses lovely streams
οὐδέ τί πῃ δύναμαι προχέειν ῥόον εἰς ἅλα δῖαν
nor at-all anywhere can-I pour-forth the-stream into the-sea bright
στεινόμενος νεκύεσσι, σὺ δὲ κτείνεις ἀϊδήλως. 220
cramped with-corpses you and kill destructively
ἀλλ' ἄγε δὴ καὶ ἔασον· ἄγη μ' ἔχει, ὄρχαμε λαῶν."
but come indeed also let-be amazement me holds leader of-the-people

Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Him and answering addressed in-feet swift Achilles
"ἔσται ταῦτα, Σκάμανδρε διοτρεφές, ὡς σὺ κελεύεις.
it-shall-be these-things Scamander Zeus-nurtured as you bid
Τρῶας δ' οὐ πρὶν λήξω ὑπερφιάλους ἐναρίζων,
the-Trojans but not before I-will-cease overweening slaying
πρὶν ἔλσαι κατὰ ἄστυ καὶ Ἕκτορι πειρηθῆναι
before I-have-penned-them in the-town and with-Hector have-made-trial
ἀντιβίην, ἤ κέν με δαμάσσεται, ἦ κεν ἐγὼ τόν."
face-to-face whether — me he-will-subdue or — I him
Ὣς εἰπὼν Τρώεσσιν ἐπέσσυτο δαίμονι ἶσος·
So having-spoken against-the-Trojans he-rushed to-a-divinity equal
καὶ τότ' Ἀπόλλωνα προσέφη ποταμὸς βαθυδίνης·
and then Apollo addressed the-river deep-eddying
"ὦ πόποι, ἀργυρότοξε, Διὸς τέκος, οὐ σύ γε βουλὰς
oh for-shame silver-bowed of-Zeus child not you indeed the-counsels
εἰρύσαο Κρονίωνος, ὅ τοι μάλα πόλλ' ἐπέτελλε
have-kept of-the-son-of-Cronus who you very much charged
Τρωσὶ παρεστάμεναι καὶ ἀμύνειν, εἰς ὅ κεν ἔλθῃ
the-Trojans to-stand-by and to-defend until the-time — comes
δείελος ὀψὲ δύων, σκιάσῃ δ' ἐρίβωλον ἄρουραν."
evening late setting darkens and the-deep-soiled earth
Ἦ, καὶ Ἀχιλλεὺς μὲν δουρικλυτὸς ἔνθορε μέσσῳ
He-spoke and Achilles indeed spear-famed leapt-into the-middle
κρημνοῦ ἀπαΐξας· ὁ δ' ἐπέσσυτο οἴδματι θύων,
from-the-bank darting he and rushed with-swell raging
πάντα δ' ὄρινε ῥέεθρα κυκώμενος, ὦσε δὲ νεκροὺς
all and he-stirred the-streams churning thrust and the-corpses
πολλούς, οἵ ῥα κατ' αὐτὸν ἅλις ἔσαν, οὓς κτάν' Ἀχιλλεύς·
many which then in it enough were whom killed Achilles

τοὺς ἔκβαλλε θύραζε, μεμυκὼς ἠΰτε ταῦρος,
them he-cast out bellowing like a-bull
χέρσονδε· ζωοὺς δὲ σάω κατὰ καλὰ ῥέεθρα,
to-the-land the-living and he-saved in fair streams
κρύπτων ἐν δίνῃσι βαθείῃσιν μεγάλῃσι.
hiding in eddies deep great
δεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα,
dread and around Achilles churning stood the-wave
ὤθει δ' ἐν σάκεϊ πίπτων ῥόος· οὐδὲ πόδεσσιν
pushed and on the-shield falling the-stream nor with-feet
εἶχε στηρίξασθαι· ὁ δὲ πτελέην ἕλε χερσὶν
could-he plant-himself he and an-elm took in-hands
εὐφυέα μεγάλην· ἡ δ' ἐκ ῥιζέων ἐριποῦσα
well-grown great it and from the-roots falling
κρημνὸν ἅπαντα διῶσεν, ἐπέσχε δὲ καλὰ ῥέεθρα
the-bank all tore-away checked and the-fair streams
ὄζοισιν πυκινοῖσι, γεφύρωσεν δέ μιν αὐτὸν
with-branches thick bridged and it itself
εἴσω πᾶσ' ἐριποῦσ'· ὁ δ' ἄρ' ἐκ δίνης ἀνορούσας
within all fallen he and then from the-eddy leaping-up
ἤϊξεν πεδίοιο ποσὶ κραιπνοῖσι πέτεσθαι,
rushed over-the-plain with-feet swift to-fly
δείσας· οὐδέ τ' ἔληγε θεὸς μέγας, ὦρτο δ' ἐπ' αὐτῷ
afraid nor — ceased the-god great rose and upon him
ἀκροκελαινιόων, ἵνα μιν παύσειε πόνοιο
darkening-on-the-surface that him he-might-stop from-toil
δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
noble Achilles from-the-Trojans and ruin ward-off
Πηλεΐδης δ' ἀπόρουσεν ὅσον τ' ἐπὶ δουρὸς ἐρωή,
the-son-of-Peleus and leapt-away as-far-as — over of-a-spear the-cast

αἰετοῦ οἴματ' ἔχων μέλανος, τοῦ θηρητῆρος,
of-an-eagle the-swoop having black the hunter
ὅς θ' ἅμα κάρτιστός τε καὶ ὤκιστος πετεηνῶν·
which — at-once strongest both and swiftest of-birds
τῷ ἐϊκὼς ἤϊξεν, ἐπὶ στήθεσσι δὲ χαλκὸς
to-it like he-darted on breast and bronze
σμερδαλέον κονάβιζεν· ὕπαιθα δὲ τοῖο λιασθεὶς
terribly rang from-under and it slipping-away
φεῦγ', ὁ δ' ὄπισθε ῥέων ἕπετο μεγάλῳ ὀρυμαγδῷ.
he-fled it and behind flowing followed with-great din
ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς ἀπὸ κρήνης μελανύδρου
as and when a-man ditch-digger from a-spring of-dark-water
ἆμ φυτὰ καὶ κήπους ὕδατι ῥόον ἡγεμονεύῃ
among plants and gardens with-water the-stream guides
χερσὶ μάκελλαν ἔχων, ἀμάρης ἐξ ἔχματα βάλλων·
in-hands a-mattock holding of-the-channel out the-dams casting
τοῦ μέν τε προρέοντος ὑπὸ ψηφῖδες ἅπασαι
of-it indeed — flowing-forward under pebbles all
ὀχλεῦνται· τὸ δέ τ' ὦκα κατειβόμενον κελαρύζει
are-swept it and — quickly flowing-down gurgles
χώρῳ ἔνι προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα·
place in sloping outstrips and — even him leading
ὣς αἰεὶ Ἀχιλῆα κιχήσατο κῦμα ῥόοιο
so always Achilles overtook the-wave of-the-stream
καὶ λαιψηρὸν ἐόντα· θεοὶ δέ τε φέρτεροι ἀνδρῶν.
even swift being gods and — stronger than-men

ὁσσάκι δ᾽ ὁρμήσειε ποδάρκης δῖος Ἀχιλλεὺς
as-often-as and he-rushed swift-footed noble Achilles
στῆναι ἐναντίβιον καὶ γνώμεναι εἴ μιν ἅπαντες
to-stand face-to-face and to-know if him all
ἀθάνατοι φοβέουσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
the-immortals rout who heaven broad hold
τοσσάκι μιν μέγα κῦμα διιπετέος ποταμοῖο
so-often him great wave of-the-Zeus-fed river
πλάζ᾽ ὤμους καθύπερθεν· ὁ δ᾽ ὑψόσε ποσσὶν ἐπήδα
struck the-shoulders from-above he and on-high with-feet leapt
θυμῷ ἀνιάζων· ποταμὸς δ᾽ ὑπὸ γούνατ᾽ ἐδάμνα
in-heart grieving the-river and beneath the-knees subdued
λάβρος ὕπαιθα ῥέων, κονίην δ᾽ ὑπέρεπτε ποδοῖιν.
violent under flowing the-dust and snatched-from-under the-feet

XXI.5 · HERA CALLS HEPHAESTUS

Achilles complains that he will drown like a swineherd boy, not die by Hector's hand. Poseidon and Athena take his hand and say he is not fated to drown. The river calls Simoeis to help bury Achilles. Hera calls Hephaestus to burn the river while she raises the winds against the Trojans.

Πηλεΐδης δ᾽ ὤμωξεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
the-son-of-Peleus and groaned looking to heaven broad
"Ζεῦ πάτερ, ὡς οὔ τίς με θεῶν ἐλεεινὸν ὑπέστη
Zeus father how not any me of-the-gods pitiable undertook
ἐκ ποταμοῖο σαῶσαι· ἔπειτα δὲ καί τι πάθοιμι.
from the-river to-save then and even anything I-might-suffer
ἄλλος δ᾽ οὔ τίς μοι τόσον αἴτιος Οὐρανιώνων,
other but not any to-me so-much to-blame of-the-heavenly-ones

ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγεν·
but my-dear mother who me with-lies beguiled
ἥ μ' ἔφατο Τρώων ὑπὸ τείχεϊ θωρηκτάων
who me said of-the-Trojans under the-wall corseleted
λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν.
by-swift should-perish of-Apollo arrows
ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε γ' ἔτραφ' ἄριστος·
would-that me ought Hector to-have-killed who here indeed was-reared best
280 τῶ κ' ἀγαθὸς μὲν ἔπεφν', ἀγαθὸν δέ κεν ἐξενάριξε·
then — a-brave-man indeed would-have-slain a-brave-man and — would-have-stripped
νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι
now but me by-grievous death it-was-fated to-be-caught
ἐρχθέντ' ἐν μεγάλῳ ποταμῷ, ὡς παῖδα συφορβόν,
penned in great river like a-boy swineherd
ὅν ῥά τ' ἔναυλος ἀποέρσῃ χειμῶνι περῶντα."
whom then — a-torrent sweeps-away in-winter crossing
Ὣς φάτο, τῷ δὲ μάλ' ὦκα Ποσειδάων καὶ Ἀθήνη
So he-spoke to-him and very quickly Poseidon and Athena
285 στήτην ἐγγὺς ἰόντε, δέμας δ' ἄνδρεσσιν ἐΐκτην,
stood near coming in-form and to-men they-were-like
χειρὶ δὲ χεῖρα λαβόντες ἐπιστώσαντ' ἐπέεσσι.
in-hand and hand taking pledged with-words
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
them and of-words began Poseidon the-earth-shaker
"Πηλεΐδη, μήτ' ἄρ τι λίην τρέε μήτε τι τάρβει·
son-of-Peleus neither then at-all too-much tremble nor at-all fear
τοίω γάρ τοι νῶϊ θεῶν ἐπιταρρόθω εἰμέν,
such for to-you we-two of-gods helpers are
290 Ζηνὸς ἐπαινήσαντος, ἐγὼ καὶ Παλλὰς Ἀθήνη·
Zeus approving I and Pallas Athena

ὡς οὔ τοι ποταμῷ γε δαμήμεναι αἴσιμόν ἐστιν,
since not to-you by-the-river indeed to-be-subdued fated is
ἀλλ᾽ ὅδε μὲν τάχα λωφήσει, σὺ δὲ εἴσεαι αὐτός·
but this-one indeed soon will-abate you and will-know yourself
αὐτάρ τοι πυκινῶς ὑποθησόμεθ᾽, αἴ κε πίθηαι·
but to-you closely we-will-advise if — you-obey
μὴ πρὶν παύειν χεῖρας ὁμοιΐου πολέμοιο,
not before to-stop the-hands from-impartial war
πρὶν κατὰ Ἰλιόφι κλυτὰ τείχεα λαὸν ἐέλσαι
before down of-Ilium the-famous walls the-host to-pen
Τρωϊκόν, ὅς κε φύγῃσι· σὺ δ᾽ Ἕκτορι θυμὸν ἀπούρας
the-Trojan whoever — escapes you and of-Hector the-life having-taken
ἂψ ἐπὶ νῆας ἴμεν· δίδομεν δέ τοι εὖχος ἀρέσθαι.᾽᾽
back to the-ships go we-give and to-you glory to-win
Τὼ μὲν ἄρ᾽ ὣς εἰπόντε μετ᾽ ἀθανάτους ἀπεβήτην·
The-two indeed then so having-spoken among the-immortals departed
αὐτὰρ ὁ βῆ, μέγα γάρ ῥα θεῶν ὄτρυνεν ἐφετμή,
but he went great for then of-the-gods urged the-command
ἐς πεδίον· τὸ δὲ πᾶν πλῆθ᾽ ὕδατος ἐκχυμένοιο,
to the-plain it and all was-full of-water outpoured
πολλὰ δὲ τεύχεα καλὰ δαϊκταμένων αἰζηῶν
many and arms fair slain-in-battle young-men
πλῶον καὶ νέκυες· τοῦ δ᾽ ὑψόσε γούνατ᾽ ἐπήδα
floated and corpses of-him and on-high the-knees leapt
πρὸς ῥόον ἀΐσσοντος ἀν᾽ ἰθύν, οὐδέ μιν ἴσχεν
against the-stream rushing up straight nor him held
εὐρὺ ῥέων ποταμός· μέγα γὰρ σθένος ἔμβαλ᾽ Ἀθήνη.
wide flowing the-river great for strength cast-in Athena

οὐδὲ Σκάμανδρος ἔληγε τὸ ὃν μένος, ἀλλ᾽ ἔτι μᾶλλον
nor Scamander ceased the his might but still more
χώετο Πηλεΐωνι, κόρυσσε δὲ κῦμα ῥόοιο
was-angry with-the-son-of-Peleus crested and the-wave of-the-stream
ὑψόσ᾽ ἀειρόμενος, Σιμόεντι δὲ κέκλετ᾽ ἀΰσας·
on-high lifting-himself to-Simoeis and called shouting
"φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ
dear brother the-might of-the-man both indeed
σχῶμεν, ἐπεὶ τάχα ἄστυ μέγα Πριάμοιο ἄνακτος
let-us-check since soon the-town great of-Priam lord
ἐκπέρσει, Τρῶες δὲ κατὰ μόθον οὐ μενέουσιν.
he-will-sack the-Trojans and in the-press not will-stand
ἀλλ᾽ ἐπάμυνε τάχιστα, καὶ ἐμπίπληθι ῥέεθρα
but help soonest and fill the-streams
ὕδατος ἐκ πηγέων, πάντας δ᾽ ὀρόθυνον ἐναύλους,
with-water from springs all and rouse the-torrents
ἵστη δὲ μέγα κῦμα, πολὺν δ᾽ ὀρυμαγδὸν ὄρινε
raise and great wave much and din stir
φιτρῶν καὶ λάων, ἵνα παύσομεν ἄγριον ἄνδρα,
of-logs and stones that we-may-stop the-savage man
ὃς δὴ νῦν κρατέει, μέμονεν δ᾽ ὅ γε ἶσα θεοῖσι.
who indeed now prevails is-minded and he indeed equal to-the-gods
φημὶ γὰρ οὔτε βίην χραισμησέμεν οὔτε τι εἶδος,
I-say for neither the-might will-help nor at-all the-looks

οὔτε τὰ τεύχεα καλά, τά που μάλα νειόθι λίμνης
nor the arms fair which somewhere very at-the-bottom of-the-marsh
κείσεθ' ὑπ' ἰλύος κεκαλυμμένα· κὰδ δέ μιν αὐτὸν
will-lie under the-mud covered down and him himself
εἰλύσω ψαμάθοισιν ἅλις χέραδος περιχεύας
I-will-wrap in-sands enough shingle pouring-around
μυρίον, οὐδέ οἱ ὀστέ' ἐπιστήσονται Ἀχαιοὶ
countless nor his bones will-know-how the-Achaeans
ἀλλέξαι· τόσσην οἱ ἄσιν καθύπερθε καλύψω.
to-gather such-a-mass him silt above I-will-cover
αὐτοῦ οἱ καὶ σῆμα τετεύξεται, οὐδέ τί μιν χρεὼ
there for-him also a-tomb will-be-made nor at-all him need
ἔσται τυμβοχόης, ὅτε μιν θάπτωσιν Ἀχαιοί."
will-be of-a-barrow when him bury the-Achaeans
Ἦ, καὶ ἐπῶρτ' Ἀχιλῆϊ κυκώμενος, ὑψόσε θύων,
He-spoke and rushed-at Achilles churning on-high raging
μορμύρων ἀφρῷ τε καὶ αἵματι καὶ νεκύεσσι.
seething with-foam both and blood and corpses
πορφύρεον δ' ἄρα κῦμα διιπετέος ποταμοῖο
purple and then the-wave of-the-Zeus-fed river
ἵστατ' ἀειρόμενον, κατὰ δ' ᾖρεε Πηλεΐωνα·
stood raised down and it-was-seizing the-son-of-Peleus
Ἥρη δὲ μέγ' ἄϋσε περιδείσασ' Ἀχιλῆϊ,
Hera and greatly shouted fearing for-Achilles
μή μιν ἀποέρσειε μέγας ποταμὸς βαθυδίνης,
lest him should-sweep-away the-great river deep-eddying
αὐτίκα δ' Ἥφαιστον προσεφώνεεν, ὃν φίλον υἱόν·
at-once and Hephaestus addressed her dear son

"ὄρσεο, κυλλοπόδιον, ἐμὸν τέκος· ἄντα σέθεν γὰρ
rise lame-footed my child against you for
Ξάνθον δινήεντα μάχῃ ἠΐσκομεν εἶναι·
Xanthus eddying in-battle we-thought to-be
ἀλλ' ἐπάμυνε τάχιστα, πιφαύσκεο δὲ φλόγα πολλήν.
but help soonest show and flame great
αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργεστᾶο Νότοιο
but I of-Zephyrus and of-the-clearing Notus
εἴσομαι ἐξ ἁλόθεν χαλεπὴν ὄρσουσα θύελλαν,
will-go from from-the-sea a-hard to-rouse gale
ἥ κεν ἀπὸ Τρώων κεφαλὰς καὶ τεύχεα κήαι,
which — off the-Trojans the-heads and arms may-burn
φλέγμα κακὸν φορέουσα· σὺ δὲ Ξάνθοιο παρ' ὄχθας
blaze evil bearing you and of-Xanthus along the-banks
δένδρεα καῖ', ἐν δ' αὐτὸν ἵει πυρί· μηδέ σε πάμπαν
the-trees burn in and himself put with-fire nor you at-all
μειλιχίοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ·
with-gentle words let-him-turn-aside and threats
μηδὲ πρὶν ἀπόπαυε τεὸν μένος, ἀλλ' ὁπότ' ἂν δὴ
nor before stop your might but when — indeed
φθέγξομ' ἐγὼν ἰάχουσα, τότε σχεῖν ἀκάματον πῦρ."
I-call I shouting then stay untiring fire

Hephaestus kindles a fire that burns the corpses on the plain, then the elms, willows, and reeds along the river; the eels and fish are tormented, and the river boils like a cauldron. Xanthus begs Hera to call off her son, and swears he will no longer help the Trojans. Hera tells Hephaestus to stop, and the river returns to its bed.

Ὣς ἔφαθ', Ἥφαιστος δὲ τιτύσκετο θεσπιδαὲς πῦρ.
So she-spoke Hephaestus and prepared wondrous fire
πρῶτα μὲν ἐν πεδίῳ πῦρ δαίετο, καῖε δὲ νεκροὺς
first indeed in the-plain fire was-kindled burned and the-corpses
πολλούς, οἵ ῥα κατ' αὐτὸν ἅλις ἔσαν, οὓς κτάν' Ἀχιλλεύς·
many which then in it enough were whom killed Achilles
πᾶν δ' ἐξηράνθη πεδίον, σχέτο δ' ἀγλαὸν ὕδωρ. 345
all and was-dried the-plain was-checked and the-bright water
ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης νεοαρδέ' ἀλωὴν
as and when in-late-summer Boreas a-newly-watered garden
αἶψ' ἀγξηράνῃ· χαίρει δέ μιν ὅς τις ἐθείρῃ·
quickly dries rejoices and it whoever any tills
ὣς ἐξηράνθη πεδίον πᾶν, κὰδ δ' ἄρα νεκροὺς
so was-dried the-plain all down and then the-corpses
κῆεν· ὁ δ' ἐς ποταμὸν τρέψε φλόγα παμφανόωσαν.
burned he and to the-river turned the-flame all-gleaming
καίοντο πτελέαι τε καὶ ἰτέαι ἠδὲ μυρῖκαι, 350
burned elms both and willows and tamarisks
καίετο δὲ λωτός τε ἰδὲ θρύον ἠδὲ κύπειρον,
burned and clover both and rushes and galingale
τὰ περὶ καλὰ ῥέεθρα ἅλις ποταμοῖο πεφύκει·
which about the-fair streams abundant of-the-river grew
τείροντ' ἐγχέλυές τε καὶ ἰχθύες οἳ κατὰ δίνας,
were-distressed eels both and fishes who in the-eddies

οἳ κατὰ καλὰ ῥέεθρα κυβίστων ἔνθα καὶ ἔνθα
who in the-fair streams tumbled this-way and that
πνοιῇ τειρόμενοι πολυμήτιος Ἡφαίστοιο.
by-the-blast distressed of-resourceful Hephaestus
καίετο δ' ἰὸς ποταμοῖο ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
burned and the-might of-the-river word and spoke out and named(-him)
"Ἥφαιστ', οὔ τις σοί γε θεῶν δύνατ' ἀντιφερίζειν,
Hephaestus not any with-you indeed of-the-gods can vie
οὐδ' ἂν ἐγὼ σοί γ' ὧδε πυρὶ φλεγέθοντι μαχοίμην.
nor — I with-you indeed thus with-fire blazing would-fight
λῆγ' ἔριδος, Τρῶας δὲ καὶ αὐτίκα δῖος Ἀχιλλεὺς
cease from-strife the-Trojans and even at-once noble Achilles
ἄστεος ἐξελάσειε· τί μοι ἔριδος καὶ ἀρωγῆς;"
from-the-town may-drive-out what to-me of-strife and help
Φῆ πυρὶ καιόμενος, ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα.
He-spoke with-fire burning up and bubbled the-fair streams
ὡς δὲ λέβης ζεῖ ἔνδον ἐπειγόμενος πυρὶ πολλῷ,
as and a-cauldron boils within pressed by-fire much
κνίσην μελδόμενος ἁπαλοτρεφέος σιάλοιο,
the-lard melting of-a-tenderly-fattened hog
πάντοθεν ἀμβολάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται,
from-all-sides bubbling-up under and wood dry lies
ὣς τοῦ καλὰ ῥέεθρα πυρὶ φλέγετο, ζέε δ' ὕδωρ·
so of-it the-fair streams with-fire burned boiled and the-water
οὐδ' ἔθελε προρέειν, ἀλλ' ἴσχετο· τείρε δ' ἀϋτμὴ
nor wished to-flow-forth but was-checked distressed and the-blast
Ἡφαίστοιο βίηφι πολύφρονος. αὐτὰρ ὅ γ' Ἥρην
of-Hephaestus by-the-might much-skilled but he indeed Hera
πολλὰ λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
much begging words winged addressed

“ Ἥρη, τίπτε σὸς υἱὸς ἐμὸν ῥόον ἔχραε κήδειν
Hera why your son my stream assailed to-afflict
ἐξ ἄλλων; οὐ μέν τοι ἐγὼ τόσον αἴτιός εἰμι,
beyond others not indeed you-know I so-much to-blame am
ὅσσον οἱ ἄλλοι πάντες, ὅσοι Τρώεσσιν ἀρωγοί.
as-much-as the others all as-many-as for-the-Trojans helpers
ἀλλ᾽ ἤτοι μὲν ἐγὼν ἀποπαύσομαι, εἰ σὺ κελεύεις,
but truly indeed I will-cease if you bid
παυέσθω δὲ καὶ οὗτος· ἐγὼ δ᾽ ἐπὶ καὶ τόδ᾽ ὀμοῦμαι,
let-him-cease and also this-one I and besides also this will-swear
μή ποτ᾽ ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,
not ever against the-Trojans to-ward-off evil day
μηδ᾽ ὁπότ᾽ ἂν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
nor when — Troy with-fierce fire all burns
καιομένη, καίωσι δ᾽ ἀρήϊοι υἷες Ἀχαιῶν.”
burning burn-it and warlike sons of-the-Achaeans
Αὐτὰρ ἐπεὶ τό γ᾽ ἄκουσε θεὰ λευκώλενος Ἥρη,
But when this indeed heard the-goddess white-armed Hera
αὐτίκ᾽ ἄρ᾽ Ἥφαιστον προσεφώνεεν, ὃν φίλον υἱόν·
at-once then Hephaestus addressed her dear son
“ Ἥφαιστε, σχέο, τέκνον ἀγακλεές· οὐ γὰρ ἔοικεν
Hephaestus hold child far-famed not for it-is-fitting
ἀθάνατον θεὸν ὧδε βροτῶν ἕνεκα στυφελίζειν.”
an-immortal god thus of-mortals for-the-sake to-buffet
Ὣς ἔφαθ᾽, Ἥφαιστος δὲ κατέσβεσε θεσπιδαὲς πῦρ,
So she-spoke Hephaestus and quenched the-wondrous fire
ἄψορρον δ᾽ ἄρα κῦμα κατέσσυτο καλὰ ῥέεθρα.
back and then the-wave rushed-down the-fair streams

The gods fall to strife, and Zeus laughs to see them. Ares strikes Athena's aegis, and she fells him with a boundary stone; Aphrodite leads him away, and Athena knocks her down. Poseidon challenges Apollo, reminding him that both served Laomedon a year and were cheated of their wages; Apollo answers that he will not fight his uncle for the sake of wretched mortals, who flourish and wither like leaves.

Αὐτὰρ ἐπεὶ Ξάνθοιο δάμη μένος, οἱ μὲν ἔπειτα
But when of-Xanthus was-subdued the-might they indeed then
παυσάσθην· Ἥρη γὰρ ἐρύκακε χωομένη περ·
ceased Hera for held-back angered though
ἐν δ' ἄλλοισι θεοῖσιν ἔρις πέσε βεβριθυῖα
in and the-other gods strife fell heavy
ἀργαλέη, δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο·
grievous two-ways and in-them in minds the-heart blew
σὺν δ' ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ' εὐρεῖα χθών,
together and they-fell with-great clatter roared and the-broad earth
ἀμφὶ δὲ σάλπιγξεν μέγας οὐρανός. ἄϊε δὲ Ζεὺς
around and trumpeted great heaven heard and Zeus
ἥμενος Οὐλύμπῳ· ἐγέλασσε δέ οἱ φίλον ἦτορ
sitting on-Olympus laughed and his dear heart
γηθοσύνῃ, ὅθ' ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας.
with-joy when he-saw the-gods in-strife meeting
ἔνθ' οἵ γ' οὐκέτι δηρὸν ἀφέστασαν· ἦρχε γὰρ Ἄρης
then they indeed no-longer long stood-apart led for Ares
ῥινοτόρος, καὶ πρῶτος Ἀθηναίῃ ἐπόρουσε
the-shield-piercer and first at-Athena rushed
χάλκεον ἔγχος ἔχων, καὶ ὀνείδειον φάτο μῦθον·
bronze spear holding and reproachful spoke word

"τίπτ' αὖτ', ὦ κυνάμυια, θεοὺς ἔριδι ξυνελαύνεις
why again O dog-fly the-gods in-strife do-you-drive-together
θάρσος ἄητον ἔχουσα, μέγας δέ σε θυμὸς ἀνῆκεν;
boldness stormy having great and you heart has-sent
ἦ οὐ μέμνῃ ὅτε Τυδεΐδην Διομήδε' ἀνῆκας
or not you-remember when the-son-of-Tydeus Diomedes you-set-on
οὐτάμεναι, αὐτὴ δὲ πανόψιον ἔγχος ἑλοῦσα
to-wound-me yourself and the-all-seen spear taking
ἰθὺς ἐμεῦ ὦσας, διὰ δὲ χρόα καλὸν ἔδαψας;
straight at-me thrust through and the-flesh fair tore
τῶ σ' αὖ νῦν ὀΐω ἀποτεισέμεν ὅσσα ἔοργας."
therefore you in-turn now I-think to-pay-for as-much-as you-have-done
Ὣς εἰπὼν οὔτησε κατ' αἰγίδα θυσσανόεσσαν
So having-spoken he-struck on the-aegis tasseled
σμερδαλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνός·
dread which not-even of-Zeus subdues the-thunderbolt
τῇ μιν Ἄρης οὔτησε μιαιφόνος ἔγχεϊ μακρῷ.
on-it her Ares struck blood-stained with-spear long
ἡ δ' ἀναχασσαμένη λίθον εἵλετο χειρὶ παχείῃ
she and drawing-back a-stone took in-hand stout
κείμενον ἐν πεδίῳ μέλανα, τρηχύν τε μέγαν τε,
lying in the-plain black jagged both great and
τόν ῥ' ἄνδρες πρότεροι θέσαν ἔμμεναι οὖρον ἀρούρης·
which then men earlier set to-be the-boundary of-the-field
τῷ βάλε θοῦρον Ἄρηα κατ' αὐχένα, λῦσε δὲ γυῖα.
with-it she-hit impetuous Ares on the-neck loosed and limbs
ἑπτὰ δ' ἐπέσχε πέλεθρα πεσών, ἐκόνισε δὲ χαίτας,
seven and he-covered plethra falling soiled and the-hair
τεύχεά τ' ἀμφαράβησε· γέλασσε δὲ Παλλὰς Ἀθήνη,
the-arms and rang-about laughed and Pallas Athena

καί οἱ ἐπευχομένη ἔπεα πτερόεντα προσηύδα·
and over-him boasting words winged addressed
"νηπύτι', οὐδέ νύ πώ περ ἐπεφράσω ὅσσον ἀρείων
fool not-even now yet indeed you-have-noticed how-much stronger
εὔχομ' ἐγὼν ἔμεναι, ὅτι μοι μένος ἰσοφαρίζεις.
I-claim I to-be that with-me might you-match
οὕτω κεν τῆς μητρὸς ἐρινύας ἐξαποτίνοις,
so — of-your mother the-furies you-would-pay-off
ἥ τοι χωομένη κακὰ μήδεται, οὕνεκ' Ἀχαιοὺς
who at-you angered evils devises because the-Achaeans
κάλλιπες, αὐτὰρ Τρωσὶν ὑπερφιάλοισιν ἀμύνεις."
you-left but the-Trojans overweening you-help
Ὣς ἄρα φωνήσασα πάλιν τρέπεν ὄσσε φαεινώ·
So then having-spoken back she-turned the-eyes shining
τὸν δ' ἄγε χειρὸς ἑλοῦσα Διὸς θυγάτηρ Ἀφροδίτη
him and led by-the-hand taking of-Zeus daughter Aphrodite
πυκνὰ μάλα στενάχοντα· μόγις δ' ἐσαγείρετο θυμόν.
thick very groaning with-difficulty and gathering his-spirit
τὴν δ' ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη,
her and when then noticed the-goddess white-armed Hera
αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
at-once Athena words winged addressed
"ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη,
oh for-shame of-aegis-bearing Zeus child Atrytone
καὶ δὴ αὖθ' ἡ κυνάμυια ἄγει βροτολοιγὸν Ἄρηα
also now again the dog-fly leads man-destroying Ares
δηΐου ἐκ πολέμοιο κατὰ κλόνον· ἀλλὰ μέτελθε."
consuming from war through the-press but go-after(-her)

Ὣς φάτ', Ἀθηναίη δὲ μετέσσυτο, χαῖρε δὲ θυμῷ,
So she-spoke Athena and rushed-after rejoiced and in-heart
καί ῥ' ἐπιεισαμένη πρὸς στήθεα χειρὶ παχείῃ
and then coming-at at breasts with-hand stout
ἤλασε· τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
struck of-her and there were-loosed the-knees and dear heart
τὼ μὲν ἄρ' ἄμφω κεῖντο ἐπὶ χθονὶ πουλυβοτείρῃ,
the-two indeed then both lay on the-earth much-nourishing
ἡ δ' ἄρ' ἐπευχομένη ἔπεα πτερόεντ' ἀγόρευε·
she and then boasting words winged spoke
"τοιοῦτοι νῦν πάντες, ὅσοι Τρώεσσιν ἀρωγοί,
such now all as-many-as for-the-Trojans helpers
εἶεν, ὅτ' Ἀργείοισι μαχοίατο θωρηκτῇσιν,
were when with-the-Argives they-fought corseleted
ὧδέ τε θαρσαλέοι καὶ τλήμονες, ὡς Ἀφροδίτη
so both bold and enduring as Aphrodite
ἦλθεν Ἄρῃ ἐπίκουρος ἐμῷ μένει ἀντιόωσα·
came to-Ares as-helper my might meeting
τῷ κεν δὴ πάλαι ἄμμες ἐπαυσάμεθα πτολέμοιο,
then — indeed long-ago we would-have-ceased from-war
Ἰλίου ἐκπέρσαντες ἐϋκτίμενον πτολίεθρον."
of-Ilium having-sacked the-well-built citadel
Ὣς φάτο, μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη.
So she-spoke smiled and the-goddess white-armed Hera
αὐτὰρ Ἀπόλλωνα προσέφη κρείων ἐνοσίχθων·
but Apollo addressed the-lord earth-shaker

"Φοῖβε, τίη δὴ νῶϊ διέσταμεν; οὐδὲ ἔοικεν
Phoebus why indeed we-two stand-apart nor is-it-fitting
ἀρξάντων ἑτέρων· τὸ μὲν αἴσχιον, αἴ κ' ἀμαχητὶ
having-begun others this indeed more-shameful if — without-fighting
ἴομεν Οὔλυμπόνδε Διὸς ποτὶ χαλκοβατὲς δῶ.
we-go to-Olympus of-Zeus to bronze-floored house
ἄρχε· σὺ γὰρ γενεῇφι νεώτερος· οὐ γὰρ ἔμοιγε
begin you for in-birth younger not for to-me
καλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.
fair since earlier I-was-born and more know
νηπύτι', ὡς ἄνοον κραδίην ἔχες· οὐδέ νυ τῶν περ
fool how senseless heart you-have nor now these-things indeed
μέμνηαι, ὅσα δὴ πάθομεν κακὰ Ἴλιον ἀμφὶ
you-remember how-many indeed we-suffered evils Ilium around
μοῦνοι νῶϊ θεῶν, ὅτ' ἀγήνορι Λαομέδοντι
alone we-two of-the-gods when for-proud Laomedon
πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτὸν
from Zeus coming we-served-for-hire for a-year
μισθῷ ἔπι ῥητῷ· ὁ δὲ σημαίνων ἐπέτελλεν.
wage on fixed he and giving-orders enjoined
ἤτοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα
truly I for-the-Trojans the-city around a-wall built
εὐρύ τε καὶ μάλα καλόν, ἵν' ἄρρηκτος πόλις εἴη·
wide both and very fair that unbreakable the-city might-be
Φοῖβε, σὺ δ' εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες
Phoebus you and shambling crooked-horned cattle herded
Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑληέσσης.
of-Ida in the-spurs many-folded wooded

ἀλλ᾽ ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες ὧραι
but when indeed of-the-wage the-end the-glad seasons
ἐξέφερον, τότε νῶϊ βιήσατο μισθὸν ἅπαντα
brought-forth then us-two robbed-of wage all
Λαομέδων ἔκπαγλος, ἀπειλήσας δ᾽ ἀπέπεμπε.
Laomedon terrible threatening and sent-away
σὺν μὲν ὅ γ᾽ ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθε
together indeed he indeed threatened the-feet and hands above
δήσειν, καὶ περάαν νήσων ἔπι τηλεδαπάων·
to-bind and to-sell islands to far-off
στεῦτο δ᾽ ὅ γ᾽ ἀμφοτέρων ἀπολεψέμεν οὔατα χαλκῷ.
he-vowed and he indeed of-both to-lop-off the-ears with-bronze
νῶϊ δέ τ᾽ ἄψορροι κίομεν κεκοτηότι θυμῷ
we-two and — back went angered in-heart
μισθοῦ χωόμενοι, τὸν ὑποστὰς οὐκ ἐτέλεσσε.
for-the-wage enraged which having-promised not he-paid
τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν, οὐδὲ μεθ᾽ ἡμέων
for-this indeed now his-people you-bring favor nor with us
πειρᾷ ὥς κε Τρῶες ὑπερφίαλοι ἀπόλωνται
try that — the-Trojans overweening may-perish
πρόχυ κακῶς, σὺν παισὶ καὶ αἰδοίης ἀλόχοισι.”
utterly miserably with children and revered wives

Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
Him and in-turn addressed lord far-worker Apollo
"ἐννοσίγαι', οὐκ ἄν με σαόφρονα μυθήσαιο
earth-shaker not — me of-sound-mind you-would-call
ἔμμεναι, εἰ δὴ σοί γε βροτῶν ἕνεκα πτολεμίξω
to-be if indeed with-you indeed of-mortals for-the-sake I-should-fight
δειλῶν, οἳ φύλλοισιν ἐοικότες ἄλλοτε μέν τε
wretched who to-leaves like at-one-time indeed —
ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες,
blazing are of-the-field the-fruit eating
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι. ἀλλὰ τάχιστα
at-another-time and they-waste-away lifeless but soonest
παυώμεσθα μάχης· οἱ δ' αὐτοὶ δηριαάσθων."
let-us-cease from-battle they and themselves let-contend
Ὣς ἄρα φωνήσας πάλιν ἐτράπετ'· αἴδετο γάρ ῥα
So then having-spoken back he-turned he-felt-shame for then
πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσι.
with-his-father's-brother to-mingle in hands

Artemis reproaches Apollo for yielding. Hera boxes her ears with her own bow, and Artemis runs weeping to Zeus. Hermes declines to fight Leto. Apollo goes into Ilium, and the other gods return to Olympus. Achilles goes on bringing toil and sorrow on the Trojans.

τὸν δὲ κασιγνήτη μάλα νείκεσε, πότνια θηρῶν,
him and his-sister greatly rebuked queenly of-beasts
Ἄρτεμις ἀγροτέρη, καὶ ὀνείδειον φάτο μῦθον·
Artemis of-the-wild and reproachful spoke word
"φεύγεις δή, ἑκάεργε, Ποσειδάωνι δὲ νίκην
you-flee indeed far-worker to-Poseidon and victory
πᾶσαν ἐπέτρεψας, μέλεον δέ οἱ εὖχος ἔδωκας·
all you-have-yielded in-vain and to-him glory given
νηπύτιε, τί νυ τόξον ἔχεις ἀνεμώλιον αὔτως;
fool why now a-bow do-you-have windy so
μή σευ νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω
let-not of-you now still of-father in halls I-hear
εὐχομένου, ὡς τὸ πρὶν ἐν ἀθανάτοισι θεοῖσιν,
boasting as the before among the-immortal gods
ἄντα Ποσειδάωνος ἐναντίβιον πολεμίζειν."
against Poseidon face-to-face to-fight
Ὣς φάτο, τὴν δ' οὔ τι προσέφη ἑκάεργος Ἀπόλλων,
So she-spoke her and not at-all addressed the-far-worker Apollo
ἀλλὰ χολωσαμένη Διὸς αἰδοίη παράκοιτις
but angered of-Zeus revered wife
νείκεσεν ἰοχέαιραν ὀνειδείοις ἐπέεσσι·
rebuked the-arrow-pourer with-reproachful words

"πῶς δὲ σὺ νῦν μέμονας, κύον ἀδεές, ἀντί ἐμεῖο
how and you now are-minded dog shameless against me
στήσεσθαι; χαλεπή τοι ἐγὼ μένος ἀντιφέρεσθαι
to-stand hard for-you I in-might to-match
τοξοφόρῳ περ ἐούσῃ, ἐπεὶ σὲ λέοντα γυναιξὶ
bow-bearing indeed being since you a-lion to-women
Ζεὺς θῆκεν, καὶ ἔδωκε κατακτάμεν ἥν κ' ἐθέλῃσθα.
Zeus made and gave to-kill whomever — you-wish
ἤτοι βέλτερόν ἐστι κατ' οὔρεα θῆρας ἐναίρειν
truly better it-is in the-mountains beasts to-slay
ἀγροτέρας τ' ἐλάφους ἢ κρείσσοσιν ἶφι μάχεσθαι.
wild and deer than with-stronger by-force to-fight
εἰ δ' ἐθέλεις πολέμοιο δαήμεναι, ὄφρ' ἐῢ εἰδῇς
if but you-wish of-war to-learn that well you-may-know
ὅσσον φερτέρη εἴμ', ὅτι μοι μένος ἀντιφερίζεις."
how-much stronger I-am since with-me in-might you-vie
Ἦ ῥα, καὶ ἀμφοτέρας ἐπὶ καρπῷ χεῖρας ἔμαρπτε
She-spoke then and both on the-wrist hands seized
σκαιῇ, δεξιτερῇ δ' ἄρ' ἀπ' ὤμων αἶνυτο τόξα,
with-the-left with-the-right and then from shoulders took bow
αὐτοῖσιν δ' ἄρ' ἔθεινε παρ' οὔατα μειδιόωσα
with-them and then she-struck by the-ears smiling
ἐντροπαλιζομένην· ταχέες δ' ἔκπιπτον ὀϊστοί.
her-turning-this-way-and-that swift and fell-out the-arrows
δακρυόεσσα δ' ὕπαιθα θεὰ φύγεν ὥς τε πέλεια,
weeping and from-under the-goddess fled as — a-dove
ἥ ῥά θ' ὑπ' ἴρηκος κοίλην εἰσέπτατο πέτρην,
which then — from a-hawk hollow flew-into rock
χηραμόν· οὐδ' ἄρα τῇ γε ἁλώμεναι αἴσιμον ἦεν·
a-cleft nor then her indeed to-be-caught fated was

ὣς ἡ δακρυόεσσα φύγεν, λίπε δ' αὐτόθι τόξα.
so she weeping fled left and there bow
Λητὼ δὲ προσέειπε διάκτορος Ἀργειφόντης·
Leto and addressed the-guide Argus-slayer
"Λητοῖ, ἐγὼ δέ τοι οὔ τι μαχήσομαι· ἀργαλέον δὲ
Leto I and to-you not at-all will-fight hard and
πληκτίζεσθ' ἀλόχοισι Διὸς νεφεληγερέταο·
to-come-to-blows with-the-wives of-Zeus cloud-gatherer
ἀλλὰ μάλα πρόφρασσα μετ' ἀθανάτοισι θεοῖσιν
but very readily among the-immortal gods
εὔχεσθαι ἐμὲ νικῆσαι κρατερῇφι βίηφιν."
boast me to-have-conquered by-strong force
Ὣς ἄρ' ἔφη, Λητὼ δὲ συναίνυτο καμπύλα τόξα
So then he-spoke Leto and gathered-up the-curved bow
πεπτεῶτ' ἄλλυδις ἄλλα μετὰ στροφάλιγγι κονίης.
fallen one-here another-there amid the-whirl of-dust
ἡ μὲν τόξα λαβοῦσα πάλιν κίε θυγατέρος ἧς·
she indeed bow taking back went of-daughter her
ἡ δ' ἄρ' Ὄλυμπον ἵκανε Διὸς ποτὶ χαλκοβατὲς δῶ,
she and then Olympus reached of-Zeus to bronze-floored house
δακρυόεσσα δὲ πατρὸς ἐφέζετο γούνασι κούρη,
weeping and of-father sat on-the-knees the-girl
ἀμφὶ δ' ἄρ' ἀμβρόσιος ἑανὸς τρέμε· τὴν δὲ προτὶ οἷ
around and then ambrosial the-robe trembled her and to himself
εἷλε πατὴρ Κρονίδης, καὶ ἀνείρετο ἡδὺ γελάσσας·
took father son-of-Cronus and asked sweetly laughing
"τίς νύ σε τοιάδ' ἔρεξε, φίλον τέκος, Οὐρανιώνων
who now you such-things has-done dear child of-the-heavenly-ones
μαψιδίως, ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ;"
wantonly as if some evil doing openly

Τὸν δ' αὖτε προσέειπεν ἐϋστέφανος κελαδεινή·
Him and in-turn addressed the-fair-crowned clamorous
"σή μ' ἄλοχος στυφέλιξε, πάτερ, λευκώλενος Ἥρη,
your me wife buffeted father white-armed Hera
ἐξ ἧς ἀθανάτοισιν ἔρις καὶ νεῖκος ἐφῆπται."
from whom among-the-immortals strife and quarrel is-fastened
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
So they indeed such-things to each-other spoke
αὐτὰρ Ἀπόλλων Φοῖβος ἐδύσετο Ἴλιον ἱρήν·
but Apollo Phoebus entered Ilium sacred
μέμβλετο γάρ οἱ τεῖχος ἐϋδμήτοιο πόληος,
was-a-care for to-him the-wall of-the-well-built city
μὴ Δαναοὶ πέρσειαν ὑπέρμορον ἤματι κείνῳ.
lest the-Danaans sack beyond-fate on-day that
οἱ δ' ἄλλοι πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες,
the and other to Olympus went gods always being
οἱ μὲν χωόμενοι, οἱ δὲ μέγα κυδιόωντες·
the-ones indeed angered the-others and greatly exulting
κὰδ δ' ἵζον παρὰ πατρὶ κελαινεφεῖ· αὐτὰρ Ἀχιλλεὺς
down and sat by father dark-clouded but Achilles
Τρῶας ὁμῶς αὐτούς τ' ὄλεκεν καὶ μώνυχας ἵππους.
the-Trojans alike themselves both slew and the-single-hoofed horses
ὡς δ' ὅτε καπνὸς ἰὼν εἰς οὐρανὸν εὐρὺν ἵκηται
as and when smoke going to heaven broad reaches
ἄστεος αἰθομένοιο, θεῶν δέ ἑ μῆνις ἀνῆκε,
of-a-city burning of-the-gods and it the-wrath sent
πᾶσι δ' ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε' ἐφῆκεν,
for-all and made toil many and sorrows sent
ὣς Ἀχιλεὺς Τρώεσσι πόνον καὶ κήδε' ἔθηκεν.
so Achilles for-the-Trojans toil and sorrows made

Priam sees Achilles from the tower and orders the gates opened for the fleeing army. Apollo puts courage into Agenor son of Antenor and stands beside him in mist. Agenor debates whether to flee and decides to stand. He throws and strikes Achilles' greave, but the god's gift turns the spear. As Achilles rushes at him, Apollo snatches Agenor away in mist, and in Agenor's likeness draws Achilles across the plain toward the Scamander, while the Trojans pour into the city.

Ἑστήκει δ' ὁ γέρων Πρίαμος θείου ἐπὶ πύργου,
Was-standing and the old-man Priam god-built on tower
ἐς δ' ἐνόησ' Ἀχιλῆα πελώριον· αὐτὰρ ὑπ' αὐτοῦ
in and he-noticed Achilles huge but by him
Τρῶες ἄφαρ κλονέοντο πεφυζότες, οὐδέ τις ἀλκὴ
the-Trojans at-once were-routed having-fled nor any defense
γίγνεθ'· ὁ δ' οἰμώξας ἀπὸ πύργου βαῖνε χαμᾶζε,
arose he and having-groaned from the-tower went to-the-ground
ὀτρύνων παρὰ τεῖχος ἀγακλειτοὺς πυλαωρούς·
urging along the-wall the-glorious gatekeepers
"πεπταμένας ἐν χερσὶ πύλας ἔχετ', εἰς ὅ κε λαοὶ
spread-open in hands the-gates hold until the-time — the-host
ἔλθωσι προτὶ ἄστυ πεφυζότες· ἦ γὰρ Ἀχιλλεὺς
come to the-town having-fled truly for Achilles
ἐγγὺς ὅδε κλονέων· νῦν οἵω λοίγι' ἔσεσθαι.
near here routing(-them) now I-think ruinous-things to-be
αὐτὰρ ἐπεί κ' ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες,
but when — into the-wall they-breathe-again packed-together
αὖτις ἐπανθέμεναι σανίδας πυκινῶς ἀραρυίας·
again to-put-to the-doors closely fitted
δείδια γὰρ μὴ οὖλος ἀνὴρ ἐς τεῖχος ἅληται."
I-fear for lest the-baneful man into the-wall leap

Ὣς ἔφαθ', οἱ δ' ἄνεσάν τε πύλας καὶ ἀπῶσαν ὀχῆας·
So he-spoke they and slackened both the-gates and pushed-back the-bars
αἱ δὲ πετασθεῖσαι τεῦξαν φάος· αὐτὰρ Ἀπόλλων
they and spread-open made light but Apollo
ἀντίος ἐξέθορε, Τρώων ἵνα λοιγὸν ἀλάλκοι.
facing leapt-out of-the-Trojans so-that ruin he-might-ward-off
οἱ δ' ἰθὺς πόλιος καὶ τείχεος ὑψηλοῖο,
they and straight-for the-city and wall high
δίψῃ καρχαλέοι, κεκονιμένοι ἐκ πεδίοιο
with-thirst parched covered-in-dust from the-plain
φεῦγον· ὁ δὲ σφεδανὸν ἔφεπ' ἔγχεϊ, λύσσα δέ οἱ κῆρ
fled he and vehemently pressed with-the-spear frenzy and his heart
αἰὲν ἔχε κρατερή, μενέαινε δὲ κῦδος ἀρέσθαι.
always held mighty he-was-eager and glory to-win
Ἔνθά κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν,
Then — high-gated Troy had-taken the-sons of-the-Achaeans
εἰ μὴ Ἀπόλλων Φοῖβος Ἀγήνορα δῖον ἀνῆκε,
if not Apollo Phoebus Agenor noble had-roused
φῶτ' Ἀντήνορος υἱὸν ἀμύμονά τε κρατερόν τε.
the-man of-Antenor son blameless both mighty and
ἐν μέν οἱ κραδίῃ θάρσος βάλε, πὰρ δέ οἱ αὐτὸς
in indeed his heart courage he-cast beside and him himself
ἔστη, ὅπως θανάτοιο βαρείας κῆρας ἀλάλκοι,
stood so-that of-death heavy the-fates he-might-ward-off
φηγῷ κεκλιμένος· κεκάλυπτο δ' ἄρ' ἠέρι πολλῇ.
on-an-oak leaning he-was-covered and then in-mist much
αὐτὰρ ὅ γ' ὡς ἐνόησεν Ἀχιλλῆα πτολίπορθον,
but he indeed when saw Achilles sacker-of-cities
ἔστη, πολλὰ δέ οἱ κραδίη πόρφυρε μένοντι·
stood much and his heart brooded as-he-waited

ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
vexed and then he-said to his great-hearted spirit
“ὤ μοι ἐγών· εἰ μέν κεν ὑπὸ κρατεροῦ Ἀχιλῆος
ah me I if indeed — before mighty Achilles
φεύγω, τῇ περ οἱ ἄλλοι ἀτυζόμενοι κλονέονται,
I-flee where indeed the others in-panic are-routed
αἱρήσει με καὶ ὣς, καὶ ἀνάλκιδα δειροτομήσει.
he-will-take me even so and a-coward will-cut-the-throat-of
εἰ δ᾽ ἂν ἐγὼ τούτους μὲν ὑποκλονέεσθαι ἐάσω
if but — I these indeed to-be-routed allow
Πηλεΐδῃ Ἀχιλῆϊ, ποσὶν δ᾽ ἀπὸ τείχεος ἄλλῃ
by-the-son-of-Peleus Achilles on-feet and from the-wall elsewhere
φεύγω πρὸς πεδίον Ἰλήϊον, ὄφρ᾽ ἂν ἵκωμαι
I-flee toward the-plain Ilian until — I-reach
Ἴδης τε κνημοὺς κατά τε ῥωπήϊα δύω·
of-Ida both the-spurs among and the-thickets I-sink
ἑσπέριος δ᾽ ἂν ἔπειτα λοεσσάμενος ποταμοῖο
at-evening and — then having-bathed in-the-river
ἱδρῶ ἀποψυχθεὶς προτὶ Ἴλιον ἀπονεοίμην· —
of-sweat cooled to Ilium I-might-return
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
but why to-me these-things dear debated heart
μή μ᾽ ἀπαειρόμενον πόλιος πεδίονδε νοήσῃ
lest me departing from-the-city to-the-plain he-notice
καί με μεταΐξας μάρψῃ ταχέεσσι πόδεσσιν.
and me darting-after catch with-swift feet
οὐκέτ᾽ ἔπειτ᾽ ἔσται θάνατον καὶ κῆρας ἀλύξαι·
no-longer then it-will-be death and dooms to-escape
λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ᾽ ἀνθρώπων.
too for mighty above all is of-men

εἰ δέ κέ οἱ προπάροιθε πόλεος κατεναντίον ἔλθω·
if but — him in-front-of the-city face-to-face I-go
καὶ γάρ θην τούτῳ τρωτὸς χρὼς ὀξέϊ χαλκῷ,
even for surely of-this-one pierceable the-flesh by-sharp bronze
ἐν δὲ ἕα ψυχή, θνητὸν δέ ἕ φασ' ἄνθρωποι
in and one life mortal and him say men
ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει."
to-be but to-him the-son-of-Cronus Zeus glory grants
Ὣς εἰπὼν Ἀχιλῆα ἀλεὶς μένεν, ἐν δέ οἱ ἦτορ
So having-spoken Achilles gathering-himself waited in and his heart
ἄλκιμον ὁρμᾶτο πτολεμίζειν ἠδὲ μάχεσθαι.
valiant was-eager to-wage-war and to-fight
ἠΰτε πάρδαλις εἶσι βαθείης ἐκ ξυλόχοιο
like a-leopard goes deep from the-thicket
ἀνδρὸς θηρητῆρος ἐναντίον, οὐδέ τι θυμῷ
of-a-man hunting facing nor at-all in-heart
ταρβεῖ οὐδὲ φοβεῖται, ἐπεί κεν ὑλαγμὸν ἀκούσῃ·
fears nor is-afraid when — the-baying she-hears
εἴ περ γὰρ φθάμενός μιν ἢ οὐτάσῃ ἠὲ βάλῃσιν,
if indeed for forestalling her either be-wound or strike
ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει
yet — even around the-spear pierced not ceases
ἀλκῆς, πρίν γ' ἠὲ ξυμβλήμεναι ἠὲ δαμῆναι·
of-courage before indeed either to-close or to-be-subdued
ὣς Ἀντήνορος υἱὸς ἀγαυοῦ, δῖος Ἀγήνωρ,
so of-Antenor the-son lordly noble Agenor
οὐκ ἔθελεν φεύγειν, πρὶν πειρήσαιτ' Ἀχιλῆος,
not was-willing to-flee before he-made-trial-of Achilles
ἀλλ' ὅ γ' ἄρ' ἀσπίδα μὲν πρόσθ' ἔσχετο πάντοσ' ἐΐσην,
but he indeed then the-shield indeed before held on-all-sides balanced

ἐγχείῃ δ᾽ αὐτοῖο τιτύσκετο, καὶ μέγ᾽ ἀΰτει·
with-the-spear and at-him aimed and loudly shouted
"ἦ δή που μάλ᾽ ἔολπας ἐνὶ φρεσί, φαίδιμ᾽ Ἀχιλλεῦ,
truly indeed surely greatly you-hoped in mind glorious Achilles
ἤματι τῷδε πόλιν πέρσειν Τρώων ἀγερώχων,
on-day this the-city to-sack of-the-Trojans lordly
νηπύτι᾽· ἦ τ᾽ ἔτι πολλὰ τετεύξεται ἄλγε᾽ ἐπ᾽ αὐτῇ. 585
fool truly — still many will-be-wrought woes for it
ἐν γάρ οἱ πολέες τε καὶ ἄλκιμοι ἀνέρες εἰμέν,
in for it many both and valiant men we-are
οἳ καὶ πρόσθε φίλων τοκέων ἀλόχων τε καὶ υἱῶν
who also before dear parents wives both and sons
Ἴλιον εἰρυόμεσθα· σὺ δ᾽ ἐνθάδε πότμον ἐφέψεις,
Ilium defend you but here doom will-meet
ὧδ᾽ ἔκπαγλος ἐὼν καὶ θαρσαλέος πολεμιστής."
so terrible being and bold warrior
Ἦ ῥα, καὶ ὀξὺν ἄκοντα βαρείης χειρὸς ἀφῆκε, 590
He-spoke then and sharp javelin from-heavy hand sent
καί ῥ᾽ ἔβαλε κνήμην ὑπὸ γούνατος οὐδ᾽ ἀφάμαρτεν.
and then he-hit the-shin below the-knee nor missed
ἀμφὶ δέ οἱ κνημὶς νεοτεύκτου κασσιτέροιο
around and him the-greave of-new-wrought tin
σμερδαλέον κονάβησε· πάλιν δ᾽ ἀπὸ χαλκὸς ὄρουσε
terribly rang back and from bronze leapt
βλημένου, οὐδ᾽ ἐπέρησε, θεοῦ δ᾽ ἠρύκακε δῶρα.
of-the-one-struck nor pierced of-the-god and warded-off the-gifts
Πηλεΐδης δ᾽ ὡρμήσατ᾽ Ἀγήνορος ἀντιθέοιο 595
the-son-of-Peleus and rushed at-Agenor godlike
δεύτερος· οὐδ᾽ ἔτ᾽ ἔασεν Ἀπόλλων κῦδος ἀρέσθαι,
second nor any-longer allowed Apollo glory to-win

ἀλλά μιν ἐξήρπαξε, κάλυψε δ' ἄρ' ἠέρι πολλῇ,
but him snatched-away covered and then in-mist much
ἡσύχιον δ' ἄρα μιν πολέμου ἔκπεμπε νέεσθαι.
quietly and then him from-the-war sent-out to-go
αὐτὰρ ὁ Πηλεΐωνα δόλῳ ἀποέργαθε λαοῦ·
but he the-son-of-Peleus by-guile kept-away from-the-host
αὐτῷ γὰρ ἑκάεργος Ἀγήνορι πάντα ἐοικὼς
to-the-very for the-far-worker to-Agenor in-all like
ἔστη πρόσθε ποδῶν, ὁ δ' ἐπέσσυτο ποσσὶ διώκειν·
stood before feet he and rushed with-feet to-pursue
ἦος ὁ τὸν πεδίοιο διώκετο πυροφόροιο,
while he him over-the-plain pursued wheat-bearing
τρέψας πὰρ ποταμὸν βαθυδινήεντα Σκάμανδρον,
having-turned beside the-river deep-eddying Scamander
τυτθὸν ὑπεκπροθέοντα· δόλῳ δ' ἄρ' ἔθελγεν Ἀπόλλων,
little running-ahead by-guile and then beguiled Apollo
ὡς αἰεὶ ἔλποιτο κιχήσεσθαι ποσὶν οἷσι·
that always he-might-hope to-overtake with-feet his-own
τόφρ' ἄλλοι Τρῶες πεφοβημένοι ἦλθον ὁμίλῳ
meanwhile the-other Trojans routed came in-a-throng
ἀσπάσιοι προτὶ ἄστυ, πόλις δ' ἔμπλητο ἀλέντων.
gladly to the-town the-city and was-filled with-the-crowding

οὐδ᾽ ἄρα τοί γ᾽ ἔτλαν πόλιος καὶ τείχεος ἐκτὸς
nor then they indeed dared of-the-city and of-the-wall outside
μεῖναι ἔτ᾽ ἀλλήλους, καὶ γνώμεναι ὅς τε πεφεύγοι
to-wait still each-other and to-know who both had-escaped
ὅς τ᾽ ἔθαν᾽ ἐν πολέμῳ· ἀλλ᾽ ἐσσυμένως ἐσέχυντο
who and had-died in the-war but eagerly they-poured-in
ἐς πόλιν, ὅν τινα τῶν γε πόδες καὶ γοῦνα σαώσαι.
into the-city whom any of-them indeed feet and knees saved

BOOK XXII

XXII.1 · PRIAM AND HECUBA PLEAD

The Trojans shelter in the city; Hector alone stays before the Scaean Gates. Apollo reveals himself to Achilles, who angrily runs back toward the city. Priam sees him shining like Sirius, the dog star, and begs Hector to come inside: Achilles has killed many of his sons, and if Hector dies, Priam will see Troy sacked and be torn by his own dogs at his door. Hecuba bares her breast and begs him to remember it and to fight from within the walls.

Ὣς οἱ μὲν κατὰ ἄστυ πεφυζότες ἠΰτε νεβροὶ
So they indeed through the-town having-fled like fawns
ἱδρῷ ἀπεψύχοντο πίον τ᾽ ἀκέοντό τε δίψαν,
of-sweat were-cooling drank both were-slaking and thirst
κεκλιμένοι καλῇσιν ἐπάλξεσιν· αὐτὰρ Ἀχαιοὶ
leaning on-the-fair battlements but the-Achaeans
τείχεος ἆσσον ἴσαν, σάκε᾽ ὤμοισι κλίναντες.
of-the-wall nearer went shields on-shoulders having-leaned
Ἕκτορα δ᾽ αὐτοῦ μεῖναι ὀλοιὴ μοῖρα πέδησεν
Hector and there to-stay deadly fate fettered
Ἰλίου προπάροιθε πυλάων τε Σκαιάων.
of-Ilium in-front-of the-gates and Scaean
αὐτὰρ Πηλεΐωνα προσηύδα Φοῖβος Ἀπόλλων·
but the-son-of-Peleus addressed Phoebus Apollo
“τίπτε με, Πηλέος υἱέ, ποσὶν ταχέεσσι διώκεις,
why me of-Peleus son with-feet swift do-you-pursue
αὐτὸς θνητὸς ἐὼν θεὸν ἄμβροτον; οὐδέ νύ πώ με
yourself mortal being a-god immortal nor now yet me
ἔγνως ὡς θεός εἰμι, σὺ δ᾽ ἀσπερχὲς μενεαίνεις.
did-you-know that a-god I-am you but vehemently are-eager

ἦ νύ τοι οὔ τι μέλει Τρώων πόνος, οὓς ἐφόβησας,
truly now to-you not at-all is-a-care of-the-Trojans the-toil whom you-routed
οἱ δή τοι εἰς ἄστυ ἄλεν, σὺ δὲ δεῦρο λιάσθης.
who indeed you-know into the-town crowded you but here turned-aside
οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι."
not indeed me you-will-kill since not you-know fated I-am
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Him and greatly vexed addressed in-feet swift Achilles
"ἔβλαψάς μ', ἑκάεργε, θεῶν ὀλοώτατε πάντων
you-have-thwarted me far-worker of-gods most-baneful of-all
ἐνθάδε νῦν τρέψας ἀπὸ τείχεος· ἦ κ' ἔτι πολλοὶ
here now having-turned from the-wall truly — still many
γαῖαν ὀδὰξ εἷλον πρὶν Ἴλιον εἰσαφικέσθαι.
the-earth with-teeth had-bitten before Ilium to-reach
νῦν δ' ἐμὲ μὲν μέγα κῦδος ἀφείλεο, τοὺς δὲ σάωσας
now but me indeed great glory you-have-robbed them and you-saved
ῥηϊδίως, ἐπεὶ οὔ τι τίσιν γ' ἔδεισας ὀπίσσω.
easily since not at-all vengeance indeed you-feared hereafter
ἦ σ' ἂν τεισαίμην, εἴ μοι δύναμίς γε παρείη."
truly you — I-would-avenge-myself-on if to-me power indeed were-present
Ὣς εἰπὼν προτὶ ἄστυ μέγα φρονέων ἐβεβήκει,
So having-spoken toward the-town greatly minded he-went
σευάμενος ὥς θ' ἵππος ἀεθλοφόρος σὺν ὄχεσφιν,
rushing as — a-horse prize-winning with the-chariot
ὅς ῥά τε ῥεῖα θέῃσι τιταινόμενος πεδίοιο·
which then — easily runs stretching-out over-the-plain
ὣς Ἀχιλεὺς λαιψηρὰ πόδας καὶ γούνατ' ἐνώμα.
so Achilles nimbly feet and knees plied

Τὸν δ' ὁ γέρων Πρίαμος πρῶτος ἴδεν ὀφθαλμοῖσι,
Him and the old-man Priam first saw with-eyes
παμφαίνονθ' ὥς τ' ἀστέρ' ἐπεσσύμενον πεδίοιο,
all-shining like — a-star rushing over-the-plain
ὅς ῥά τ' ὀπώρης εἶσιν, ἀρίζηλοι δέ οἱ αὐγαὶ
which then — in-harvest-time comes bright and its rays
φαίνονται πολλοῖσι μετ' ἀστράσι νυκτὸς ἀμολγῷ·
appear many among stars of-night in-the-milking-time
ὅν τε κύν' Ὠρίωνος ἐπίκλησιν καλέουσι.
which — the-dog of-Orion by-surname they-call
λαμπρότατος μὲν ὅ γ' ἐστί, κακὸν δέ τε σῆμα τέτυκται,
brightest indeed it indeed is evil and — a-sign is-made
καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν·
and — brings much fever to-wretched mortals
ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
so his bronze shone about chest as-he-ran
ᾤμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὅ γε κόψατο χερσὶν
groaned and the old-man head and he indeed beat with-hands
ὑψόσ' ἀνασχόμενος, μέγα δ' οἰμώξας ἐγεγώνει
up having-raised greatly and having-groaned called-out
λισσόμενος φίλον υἱόν· ὁ δὲ προπάροιθε πυλάων
beseeching dear son he and in-front-of the-gates
ἑστήκει, ἄμοτον μεμαὼς Ἀχιλῆϊ μάχεσθαι·
was-standing insatiably eager with-Achilles to-fight
τὸν δ' ὁ γέρων ἐλεεινὰ προσηύδα χεῖρας ὀρεγνύς·
him and the old-man piteously addressed hands stretching-out

" Ἕκτορ, μή μοι μίμνε, φίλον τέκος, ἀνέρα τοῦτον
Hector not for-me await dear child man this
οἷος ἄνευθ' ἄλλων, ἵνα μὴ τάχα πότμον ἐπίσπῃς
alone apart from-others lest — soon doom you-meet
Πηλεΐωνι δαμείς, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστι,
by-the-son-of-Peleus subdued since truly much stronger he-is
σχέτλιος· αἴθε θεοῖσι φίλος τοσσόνδε γένοιτο
cruel would-that to-the-gods dear so-much he-were
ὅσσον ἐμοί· τάχα κέν ἑ κύνες καὶ γῦπες ἔδοιεν
as to-me soon — him dogs and vultures would-eat
κείμενον· ἦ κέ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχος ἔλθοι·
lying truly — to-me dread from heart grief would-go
ὅς μ' υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκε,
who me of-sons many both and good bereft made
κτείνων καὶ περνὰς νήσων ἔπι τηλεδαπάων.
killing and selling of-islands to far-off
καὶ γὰρ νῦν δύο παῖδε, Λυκάονα καὶ Πολύδωρον,
even for now two sons Lycaon and Polydorus
οὐ δύναμαι ἰδέειν Τρώων εἰς ἄστυ ἀλέντων,
not I-can see of-the-Trojans into the-town crowded
τούς μοι Λαοθόη τέκετο, κρείουσα γυναικῶν.
whom to-me Laothoe bore queenly among-women
ἀλλ' εἰ μὲν ζώουσι μετὰ στρατῷ, ἦ τ' ἂν ἔπειτα
but if indeed they-live among the-army truly — — then
χαλκοῦ τε χρυσοῦ τ' ἀπολυσόμεθ', ἔστι γὰρ ἔνδον·
with-bronze both gold and we-will-ransom(-them) is for within
πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὀνομάκλυτος Ἄλτης.
much for gave to-his-child old-man famous-in-name Altes
εἰ δ' ἤδη τεθνᾶσι καὶ εἰν Ἀΐδαο δόμοισιν,
if but already they-are-dead and in of-Hades the-house

ἄλγος ἐμῷ θυμῷ καὶ μητέρι, τοὶ τεκόμεσθα·
grief to-my heart and to-mother who we-bore(-them)
λαοῖσιν δ' ἄλλοισι μινυνθαδιώτερον ἄλγος
to-the-people and other briefer grief
ἔσσεται, ἢν μὴ καὶ σὺ θάνῃς Ἀχιλῆϊ δαμασθείς.
it-will-be if not also you die by-Achilles subdued
ἀλλ' εἰσέρχεο τεῖχος, ἐμὸν τέκος, ὄφρα σαώσῃς
but enter wall my child that you-may-save
Τρῶας καὶ Τρῳάς, μηδὲ μέγα κῦδος ὀρέξῃς
the-Trojans and Trojan-women nor great glory grant
Πηλεΐδῃ, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς.
to-the-son-of-Peleus yourself and of-dear life be-robbed
πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον,
besides and me the wretched still conscious pity
δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ
ill-fated whom then father the-son-of-Cronus on of-old-age threshold
αἴσῃ ἐν ἀργαλέῃ φθίσει, κακὰ πόλλ' ἐπιδόντα,
fate in grievous will-destroy evils many having-looked-upon
υἱάς τ' ὀλλυμένους ἑλκηθείσας τε θύγατρας,
sons both perishing dragged-off and daughters
καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
and chambers ravaged and infant children
βαλλόμενα προτὶ γαίῃ ἐν αἰνῇ δῃϊοτῆτι,
dashed on earth in dread battle
ἑλκομένας τε νυοὺς ὀλοῇς ὑπὸ χερσὶν Ἀχαιῶν.
dragged-off and daughters-in-law baneful under hands of-the-Achaeans

αὐτὸν δ' ἂν πύματόν με κύνες πρώτῃσι θύρῃσιν
myself and — last me dogs at-the-first doors
ὠμησταὶ ἐρύουσιν, ἐπεί κέ τις ὀξέϊ χαλκῷ
raw-eating will-drag when — one with-sharp bronze
τύψας ἠὲ βαλὼν ῥεθέων ἐκ θυμὸν ἕληται,
having-struck or having-hit limbs out-of life takes
οὓς τρέφον ἐν μεγάροισι τραπεζῆας θυραωρούς,
whom I-reared in halls table-dogs door-guards
οἵ κ' ἐμὸν αἷμα πιόντες ἀλύσσοντες περὶ θυμῷ
who — my blood having-drunk maddened about heart
κείσοντ' ἐν προθύροισι. νέῳ δέ τε πάντ' ἐπέοικεν
will-lie in the-porch young and — all is-seemly
ἀρηϊκταμένῳ, δεδαϊγμένῳ ὀξέϊ χαλκῷ,
slain-in-war torn by-sharp bronze
κεῖσθαι· πάντα δὲ καλὰ θανόντι περ, ὅττι φανήῃ·
to-lie all and fair dead though whatever appear
ἀλλ' ὅτε δὴ πολιόν τε κάρη πολιόν τε γένειον
but when indeed gray both head gray and beard
αἰδῷ τ' αἰσχύνωσι κύνες κταμένοιο γέροντος,
shame and defile dogs of-the-slain old-man
τοῦτο δὴ οἴκτιστον πέλεται δειλοῖσι βροτοῖσιν."
this indeed most-pitiable comes-to-be for-wretched mortals
Ἦ ῥ' ὁ γέρων, πολιὰς δ' ἄρ' ἀνὰ τρίχας ἕλκετο χερσὶ
He-spoke then the old-man gray and then up hairs pulled with-hands
τίλλων ἐκ κεφαλῆς· οὐδ' Ἕκτορι θυμὸν ἔπειθε.
tearing from head nor of-Hector the-heart persuaded
μήτηρ δ' αὖθ' ἑτέρωθεν ὀδύρετο δάκρυ χέουσα,
mother and in-turn on-the-other-side wailed tear shedding
κόλπον ἀνιεμένη, ἑτέρηφι δὲ μαζὸν ἀνέσχε·
bosom loosening with-other-hand and breast held-up

καί μιν δάκρυ χέουσ᾽ ἔπεα πτερόεντα προσηύδα·
and him tear shedding words winged addressed
“ Ἕκτορ, τέκνον ἐμόν, τάδε τ᾽ αἴδεο καί μ᾽ ἐλέησον
Hector child my these both respect and me pity
αὐτήν, εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον·
myself if ever to-you care-banishing breast I-held-out
τῶν μνῆσαι, φίλε τέκνον, ἄμυνε δὲ δῄϊον ἄνδρα
of-these remember dear child ward-off and hostile man
τείχεος ἐντὸς ἐών, μηδὲ πρόμος ἵστασο τούτῳ, 85
of-the-wall inside being nor as-champion stand-against this-one
σχέτλιος· εἴ περ γάρ σε κατακτάνῃ, οὔ σ᾽ ἔτ᾽ ἔγωγε
cruel if indeed for you he-kills not you any-longer I-indeed
κλαύσομαι ἐν λεχέεσσι, φίλον θάλος, ὃν τέκον αὐτή,
will-weep-for on bier dear sprout whom I-bore myself
οὐδ᾽ ἄλοχος πολύδωρος· ἄνευθε δέ σε μέγα νῶϊν
nor wife richly-dowered far-away and you greatly from-us-two
Ἀργείων παρὰ νηυσὶ κύνες ταχέες κατέδονται.”
of-the-Argives beside ships dogs swift will-devour

Hector waits like a snake at its hole and debates with himself; he thinks of offering Helen and the wealth of Troy, but knows Achilles would kill him unarmed. Achilles comes like the war god, and Hector flees. They run past the two springs, where the Trojan women washed in peacetime, and three times around the city.

Ὣς τώ γε κλαίοντε προσαυδήτην φίλον υἱόν,
So the-two indeed weeping addressed dear son
πολλὰ λισσομένω· οὐδ' Ἕκτορι θυμὸν ἔπειθον,
much beseeching nor of-Hector the-heart persuaded
ἀλλ' ὅ γε μίμν' Ἀχιλῆα πελώριον ἆσσον ἰόντα.
but he indeed awaited Achilles huge nearer coming
ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέστερος ἄνδρα μένῃσι,
as and a-serpent at hole mountain-bred a-man awaits
βεβρωκὼς κακὰ φάρμακ', ἔδυ δέ τέ μιν χόλος αἰνός,
having-fed-on evil poisons enters and — him wrath dread
σμερδαλέον δὲ δέδορκεν ἑλισσόμενος περὶ χειῇ·
terribly and glares coiling around the-hole
ὣς Ἕκτωρ ἄσβεστον ἔχων μένος οὐχ ὑπεχώρει,
so Hector unquenchable having strength not gave-way
πύργῳ ἔπι προὔχοντι φαεινὴν ἀσπίδ' ἐρείσας·
tower against jutting bright shield having-leaned
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
vexed and then he-said to his great-hearted spirit
"ὤ μοι ἐγών, εἰ μέν κε πύλας καὶ τείχεα δύω,
ah me I if indeed — the-gates and walls I-enter
Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει,
Polydamas on-me first reproach will-lay

ὅς μ᾽ ἐκέλευε Τρωσὶ ποτὶ πτόλιν ἡγήσασθαι
who me urged the-Trojans to city to-lead
νύχθ᾽ ὕπο τήνδ᾽ ὀλοήν, ὅτε τ᾽ ὤρετο δῖος Ἀχιλλεύς.
night during this baneful when — rose-up noble Achilles
ἀλλ᾽ ἐγὼ οὐ πιθόμην· ἦ τ᾽ ἂν πολὺ κέρδιον ἦεν.
but I not obeyed truly — — much more-profitable it-would-have-been
νῦν δ᾽ ἐπεὶ ὤλεσα λαὸν ἀτασθαλίῃσιν ἐμῇσιν,
now but since I-have-destroyed the-host by-recklessness my
αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους,
I-feel-shame-before the-Trojans and Trojan-women robe-trailing
μή ποτέ τις εἴπῃσι κακώτερος ἄλλος ἐμεῖο·
lest ever someone say baser other than-me
‘Ἕκτωρ ἦφι βίηφι πιθήσας ὤλεσε λαόν.’
Hector his-own in-might trusting destroyed the-host
ὣς ἐρέουσιν· ἐμοὶ δὲ τότ᾽ ἂν πολὺ κέρδιον εἴη
so they-will-say for-me and then — much more-profitable it-would-be
ἄντην ἢ Ἀχιλῆα κατακτείναντα νέεσθαι,
face-to-face either Achilles having-killed to-return
ἠέ κεν αὐτῷ ὀλέσθαι ἐϋκλειῶς πρὸ πόληος.
or — by-him to-perish gloriously before the-city
εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι ὀμφαλόεσσαν
if but — the-shield indeed I-lay-down bossed
καὶ κόρυθα βριαρήν, δόρυ δὲ πρὸς τεῖχος ἐρείσας
and the-helmet heavy the-spear and against the-wall having-leaned
αὐτὸς ἰὼν Ἀχιλῆος ἀμύμονος ἀντίος ἔλθω
myself going of-Achilles blameless to-meet go
καί οἱ ὑπόσχωμαι Ἑλένην καὶ κτήματ᾽ ἅμ᾽ αὐτῇ,
and to-him promise Helen and possessions with her

πάντα μάλ' ὅσσα τ' Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν
all very as-many-as — Alexander hollow in ships
ἠγάγετο Τροίηνδ', ἥ τ' ἔπλετο νείκεος ἀρχή,
brought to-Troy which — was of-strife the-beginning
δωσέμεν Ἀτρεΐδῃσιν ἄγειν, ἅμα δ' ἀμφὶς Ἀχαιοῖς
to-give to-the-sons-of-Atreus to-take-away at-once and separately to-the-Achaeans
ἄλλ' ἀποδάσσεσθαι, ὅσα τε πτόλις ἥδε κέκευθε·
other-things to-divide as-much-as — city this holds
Τρωσὶν δ' αὖ μετόπισθε γερούσιον ὅρκον ἕλωμαι
to-the-Trojans and in-turn afterward elders' oath take
μή τι κατακρύψειν, ἀλλ' ἄνδιχα πάντα δάσασθαι
not anything to-hide but in-two all to-divide
κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει·
the-wealth as-much-as citadel lovely within encloses
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
but why to-me these-things dear debated heart
μή μιν ἐγὼ μὲν ἴκωμαι ἰών, ὁ δέ μ' οὐκ ἐλεήσει
lest him I indeed reach going he and me not will-pity
οὐδέ τί μ' αἰδέσεται, κτενέει δέ με γυμνὸν ἐόντα
nor at-all me will-respect will-kill and me naked being
αὔτως ὥς τε γυναῖκα, ἐπεί κ' ἀπὸ τεύχεα δύω.
just like — a-woman when — off armor I-strip
οὐ μέν πως νῦν ἔστιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης
not indeed in-any-way now it-is-possible from oak nor from rock
τῷ ὀαριζέμεναι, ἅ τε παρθένος ἠΐθεός τε,
with-him to-chat as — a-maiden young-man and
παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοιιν.
maiden young-man and chat with-each-other

βέλτερον αὖτ᾽ ἔριδι ξυνελαυνέμεν ὅττι τάχιστα·
better in-turn in-strife to-clash as quickly-as-possible
εἴδομεν ὁπποτέρῳ κεν Ὀλύμπιος εὖχος ὀρέξῃ.᾽᾽
let-us-know to-which-of-the-two — the-Olympian glory grants
Ὣς ὅρμαινε μένων, ὁ δέ οἱ σχεδὸν ἦλθεν Ἀχιλλεὺς
So he-pondered waiting he and him near came Achilles
ἶσος Ἐνυαλίῳ, κορυθάϊκι πτολεμιστῇ,
equal to-Enyalius helmet-shaking warrior
σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον
brandishing Pelian ash-spear over right shoulder
δεινήν· ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο εἴκελος αὐγῇ
dread around and bronze shone like to-the-gleam
ἢ πυρὸς αἰθομένου ἢ ἠελίου ἀνιόντος.
either of-fire blazing or of-the-sun rising
Ἕκτορα δ᾽, ὡς ἐνόησεν, ἕλε τρόμος· οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἔτλη
Hector and when saw seized trembling nor then any-longer dared
αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς·
there to-wait behind and the-gates left went and in-fear
Πηλεΐδης δ᾽ ἐπόρουσε ποσὶ κραιπνοῖσι πεποιθώς.
the-son-of-Peleus and sprang-after in-feet swift trusting
ἠΰτε κίρκος ὄρεσφιν, ἐλαφρότατος πετεηνῶν,
like a-hawk in-the-mountains lightest of-winged-things
ῥηϊδίως οἴμησε μετὰ τρήρωνα πέλειαν,
easily swoops after trembling dove
ἡ δέ θ᾽ ὕπαιθα φοβεῖται, ὁ δ᾽ ἐγγύθεν ὀξὺ λεληκὼς
she and — beneath flees he and from-near shrilly screaming
ταρφέ᾽ ἐπαΐσσει, ἐλέειν τέ ἑ θυμὸς ἀνώγει·
often darts-at to-take and him heart bids

ὣς ἄρ᾽ ὅ γ᾽ ἐμμεμαὼς ἰθὺς πέτετο, τρέσε δ᾽ Ἕκτωρ
so then he indeed eagerly straight flew trembled and Hector
τεῖχος ὕπο Τρώων, λαιψηρὰ δὲ γούνατ᾽ ἐνώμα.
wall under of-the-Trojans nimbly and knees plied
οἱ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα
they and past the-lookout and the-fig-tree windy
τείχεος αἰὲν ὑπὲκ κατ᾽ ἀμαξιτὸν ἐσσεύοντο,
of-the-wall always out-of along the-wagon-road sped
κρουνὼ δ᾽ ἵκανον καλλιρρόω· ἔνθα δὲ πηγαὶ
springs and they-reached fair-flowing where and sources
δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος.
two gush-up of-Scamander eddying
ἡ μὲν γάρ θ᾽ ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς
the-one indeed for — with-water warm flows around and smoke
γίγνεται ἐξ αὐτῆς ὡς εἰ πυρὸς αἰθομένοιο·
arises from it as if of-fire blazing
ἡ δ᾽ ἑτέρη θέρεϊ προρέει ἐϊκυῖα χαλάζῃ,
the and other-one in-summer flows-forth like to-hail
ἢ χιόνι ψυχρῇ, ἢ ἐξ ὕδατος κρυστάλλῳ.
or snow cold or from water to-ice
ἔνθα δ᾽ ἐπ᾽ αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς ἔασι
there and by them washing-troughs broad near are
καλοὶ λαΐνεοι, ὅθι εἵματα σιγαλόεντα
fair stone where clothes shining
πλύνεσκον Τρώων ἄλοχοι καλαί τε θύγατρες
used-to-wash of-the-Trojans the-wives fair and daughters
τὸ πρὶν ἐπ᾽ εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν.
the before in peace before came the-sons of-the-Achaeans
τῇ ῥα παραδραμέτην, φεύγων, ὁ δ᾽ ὄπισθε διώκων·
there then they-two-ran-past fleeing he and behind pursuing

πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων
in-front indeed a-good-man fled pursued and him much better
καρπαλίμως, ἐπεὶ οὐχ ἱερήϊον οὐδὲ βοείην
swiftly since not a-sacrificial-beast nor oxhide
ἀρνύσθην, ἅ τε ποσσὶν ἀέθλια γίγνεται ἀνδρῶν,
they-two-strove-for which — for-feet the-prizes are of-men
ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο.
but for life they-ran of-Hector horse-taming
ὡς δ' ὅτ' ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι
as and when prize-winning around turning-posts single-hoofed horses
ῥίμφα μάλα τρωχῶσι· τὸ δὲ μέγα κεῖται ἄεθλον,
swiftly very run it and great lies prize
ἢ τρίπος ἠὲ γυνή, ἀνδρὸς κατατεθνηῶτος·
either tripod or woman of-a-man having-died
ὣς τὼ τρὶς Πριάμοιο πόλιν πέρι δινηθήτην
so the-two thrice of-Priam city around whirled
καρπαλίμοισι πόδεσσι· θεοὶ δ' ἐς πάντες ὁρῶντο·
with-swift feet the-gods and on all looked

Zeus pities Hector, but Athena objects, and he lets her act. Achilles pursues Hector as a dog pursues a fawn. When they reach the springs a fourth time, Zeus weighs two dooms in golden scales, and Hector's sinks; Apollo leaves him. Athena goes to Hector as Deiphobus to persuade him to fight.

τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
among-them and of-words began the-father of-men both of-gods and
"ὤ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
oh for-shame truly a-dear man being-pursued around the-wall
ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ
with-eyes I-see my and laments heart
170 Ἕκτορος, ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηεν
for-Hector who to-me many of-oxen on thigh-pieces burned
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ἄλλοτε δ' αὖτε
of-Ida on the-peaks many-folded at-other-times and again
ἐν πόλει ἀκροτάτῃ· νῦν αὖτέ ἑ δῖος Ἀχιλλεὺς
in the-city topmost now again him noble Achilles
ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκει.
town around of-Priam with-feet swift pursues
ἀλλ' ἄγετε φράζεσθε, θεοί, καὶ μητιάασθε
but come consider gods and take-counsel
175 ἠέ μιν ἐκ θανάτοιο σαώσομεν, ἦέ μιν ἤδη
whether him from death we-shall-save or him now
Πηλεΐδῃ Ἀχιλῆϊ δαμάσσομεν ἐσθλὸν ἐόντα."
by-the-son-of-Peleus Achilles we-shall-subdue good being
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Him and in-turn addressed the-goddess flashing-eyed Athena
"ὦ πάτερ ἀργικέραυνε, κελαινεφές, οἷον ἔειπες·
O father of-the-bright-bolt dark-clouded what you-have-said

ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ,
a-man mortal being long-ago doomed by-fate
ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
back you-wish from-death ill-sounding to-release
ἔρδ'· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι."
do(-it) but not you-know all approve gods other
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Her and answering addressed cloud-gatherer Zeus
"θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
take-heart Trito-born dear child not now at-all in-heart
πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι·
earnest I-speak I-wish and to-you kind to-be
ἔρξον ὅπῃ δή τοι νόος ἔπλετο, μηδ' ἔτ' ἐρώει."
do(-it) as indeed your mind is nor any-longer hold-back
Ὣς εἰπὼν ὄτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
So having-spoken he-urged before eager Athena
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
went and down of-Olympus the-peaks having-darted
Ἕκτορα δ' ἀσπερχὲς κλονέων ἕφεπ' ὠκὺς Ἀχιλλεύς.
Hector and vehemently routing pressed swift Achilles
ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται
as and when a-fawn in-the-mountains a-dog of-a-deer chases
ὄρσας ἐξ εὐνῆς, διά τ' ἄγκεα καὶ διὰ βήσσας·
having-roused from the-lair through both glens and through the-woods
τὸν δ' εἴ πέρ τε λάθῃσι καταπτήξας ὑπὸ θάμνῳ,
it and if indeed — escape-notice cowering under a-thicket
ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρῃ·
yet — tracking-it runs steadily until — be-finds(-it)
ὣς Ἕκτωρ οὐ λῆθε ποδώκεα Πηλεΐωνα.
so Hector not escaped-the-notice-of swift-footed the-son-of-Peleus

ὁσσάκι δ᾽ ὁρμήσειε πυλάων Δαρδανιάων
as-often-as and he-would-rush for-the-gates Dardanian
ἀντίον αἴξασθαι ἐϋδμήτους ὑπὸ πύργους,
straight to-dart well-built under towers
εἴ πώς οἱ καθύπερθεν ἀλάλκοιεν βελέεσσι,
if somehow him from-above they-might-defend with-missiles
τοσσάκι μιν προπάροιθεν ἀποστρέψασκε παραφθὰς
so-often him in-front would-turn-back having-got-ahead
πρὸς πεδίον· αὐτὸς δὲ ποτὶ πτόλιος πέτετ᾽ αἰεί.
toward the-plain himself and by the-city flew always
ὡς δ᾽ ἐν ὀνείρῳ οὐ δύναται φεύγοντα διώκειν·
as and in a-dream not one-can a-fleeing-man pursue
οὔτ᾽ ἄρ᾽ ὁ τὸν δύναται ὑποφεύγειν οὔθ᾽ ὁ διώκειν·
nor then he him can escape nor he pursue
ὣς ὁ τὸν οὐ δύνατο μάρψαι ποσίν, οὐδ᾽ ὃς ἀλύξαι.
so he him not could catch with-feet nor he escape
πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο,
how and — Hector the-dooms had-escaped of-death
εἰ μή οἱ πύματόν τε καὶ ὕστατον ἤντετ᾽ Ἀπόλλων
if not to-him last both and final had-come-to-meet Apollo
ἐγγύθεν, ὅς οἱ ἐπῶρσε μένος λαιψηρά τε γοῦνα;
from-near who his roused strength nimble and knees
λαοῖσιν δ᾽ ἀνένευε καρήατι δῖος Ἀχιλλεύς,
to-the-hosts and nodded-no with-head noble Achilles
οὐδ᾽ ἔα ἰέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα,
nor allowed to-let-fly at Hector bitter missiles
μή τις κῦδος ἄροιτο βαλών, ὁ δὲ δεύτερος ἔλθοι.
lest someone glory might-win having-struck he and second come
ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρουνοὺς ἀφίκοντο,
but when indeed the fourth-time to the-springs they-came

καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα,
even then indeed golden the-father stretched-out scales
ἐν δὲ τίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
in and he-set two dooms of-long-woeful death
τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο,
the indeed of-Achilles the and of-Hector horse-taming
ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ,
drew and middle having-taken sank and of-Hector fated day
ᾤχετο δ' εἰς Ἀΐδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων.
went and to of-Hades left and him Phoebus Apollo
Πηλεΐωνα δ' ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη,
the-son-of-Peleus and came-to the-goddess flashing-eyed Athena
ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
near and standing words winged addressed
"νῦν δὴ νῶι ἔολπα, Διΐ φίλε φαίδιμ' Ἀχιλλεῦ,
now indeed we-two I-hope to-Zeus dear glorious Achilles
οἴσεσθαι μέγα κῦδος Ἀχαιοῖσι προτὶ νῆας,
to-carry-off great glory for-the-Achaeans to the-ships
Ἕκτορα δηώσαντε μάχης ἄατόν περ ἐόντα.
Hector having-slain of-battle insatiable though being
οὔ οἱ νῦν ἔτι γ' ἔστι πεφυγμένον ἄμμε γενέσθαι,
not for-him now still indeed it-is escaped us to-become
οὐδ' εἴ κεν μάλα πολλὰ πάθοι ἑκάεργος Ἀπόλλων
nor if — very much suffer far-worker Apollo
προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.
rolling-forth-before father Zeus aegis-bearing
ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε, τόνδε δ' ἐγώ τοι
but you indeed now stand and take-breath this-man and I you-know
οἰχομένη πεπιθήσω ἐναντίβιον μαχέσασθαι."
going will-persuade face-to-face to-fight

Ὣς φάτ' Ἀθηναίη, ὁ δ' ἐπείθετο, χαῖρε δὲ θυμῷ,
So spoke Athena he and obeyed rejoiced and in-heart
στῆ δ' ἄρ' ἐπὶ μελίης χαλκογλώχινος ἐρεισθείς.
stood and then on the-ash-spear bronze-barbed leaning
ἡ δ' ἄρα τὸν μὲν ἔλειπε, κιχήσατο δ' Ἕκτορα δῖον
she and then him indeed left overtook and Hector noble
Δηϊφόβῳ ἐϊκυῖα δέμας καὶ ἀτειρέα φωνήν·
to-Deiphobus like in-build and tireless voice
ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
near and standing words winged addressed
"ἠθεῖ', ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεύς,
brother truly greatly indeed you presses swift Achilles
ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων·
town around of-Priam with-feet swift pursuing
ἀλλ' ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μένοντες."
but come indeed let-us-stand and defend-ourselves waiting
Τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Her and in-turn addressed great helmet-flashing Hector
"Δηΐφοβ', ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα
Deiphobus truly indeed to-me the before much dearest you-were
γνωτῶν, οὓς Ἑκάβη ἠδὲ Πρίαμος τέκε παῖδας·
of-brothers whom Hecuba and Priam bore sons
νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι,
now but still even more I-intend in-mind to-honor
ὃς ἔτλης ἐμεῦ εἵνεκ', ἐπεὶ ἴδες ὀφθαλμοῖσι,
who dared me for-the-sake-of when you-saw with-eyes
τείχεος ἐξελθεῖν, ἄλλοι δ' ἔντοσθε μένουσι."
from-the-wall to-come-out others and inside remain

Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Him and in-turn addressed the-goddess flashing-eyed Athena
"ἠθεῖ', ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ
brother truly indeed much father and queenly mother
λίσσονθ' ἑξείης γουνούμενοι, ἀμφὶ δ' ἑταῖροι,
besought in-a-row clasping-my-knees around and comrades
αὖθι μένειν· τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντες·
there to-remain such for are-trembling all
ἀλλ' ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῷ.
but my within heart was-worn by-grief baneful
νῦν δ' ἰθὺς μεμαῶτε μαχώμεθα, μηδέ τι δούρων
now and straight eager let-us-fight nor at-all of-spears
ἔστω φειδωλή, ἵνα εἴδομεν εἴ κεν Ἀχιλλεὺς
let-there-be sparing that we-may-know if — Achilles
νῶϊ κατακτείνας ἔναρα βροτόεντα φέρηται
us-two having-killed spoils bloody carry
νῆας ἔπι γλαφυράς, ἦ κεν σῷ δουρὶ δαμήῃ."
ships to hollow or — by-your spear be-subdued
Ὣς φαμένη καὶ κερδοσύνῃ ἡγήσατ' Ἀθήνη·
So having-said even with-cunning led Athena

Hector proposes that the victor return the other's body; Achilles answers that there are no oaths between lions and men. Hector's spear rebounds from the shield, and Deiphobus is not there. Knowing the gods have doomed him, he charges, and Achilles drives his spear through his neck and exults.

οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
they and when indeed near were against each-other going
τὸν πρότερος προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
him first addressed great helmet-flashing Hector
"οὔ σ' ἔτι, Πηλέος υἱέ, φοβήσομαι, ὡς τὸ πάρος περ
not you longer of-Peleus son I-will-flee as the before indeed
τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον, οὐδέ ποτ' ἔτλην
thrice around the-town great of-Priam I-fled nor ever I-dared
μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκε
to-await(-you) coming-on now again me heart has-impelled
στήμεναι ἀντία σεῖο· ἕλοιμί κεν, ἤ κεν ἁλοίην.
to-stand against you I-may-take(-you) — or — I-may-be-taken
ἀλλ' ἄγε δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γὰρ ἄριστοι
but come hither the-gods let-us-call-to-witness they for best
μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων·
witnesses will-be and guardians of-covenants
οὐ γὰρ ἐγώ σ' ἔκπαγλον ἀεικιῶ, αἴ κεν ἐμοὶ Ζεὺς
not for I you terribly will-outrage if — to-me Zeus
δώῃ καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι·
grant endurance your and life I-take-away
ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ,
but when then — you I-have-stripped the-glorious arms Achilles
νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὣς δὲ σὺ ῥέζειν."
the-corpse to-the-Achaeans I-will-give back so and you do

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Him and then from-under looking addressed in-feet swift Achilles
" Ἕκτορ, μή μοι, ἄλαστε, συνημοσύνας ἀγόρευε·
Hector not to-me accursed covenants talk
ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά,
as not there-are for-lions and men oaths faithful
οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,
nor wolves both and lambs like-minded heart have
ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν,
but evil plan through-and-through for-each-other
ὣς οὐκ ἔστ' ἐμὲ καὶ σὲ φιλήμεναι, οὐδέ τι νῶϊν
so not it-is-possible me and you to-be-friends nor any for-us-two
ὅρκια ἔσσονται, πρίν γ' ἢ ἕτερόν γε πεσόντα
oaths will-be before indeed — one indeed having-fallen
αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.
with-blood to-glut Ares the-shield-bearing warrior
παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρὴ
of-every-kind of-valor be-mindful now you greatly must
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
spearman both to-be and bold warrior
οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη
not for-you longer is escape at-once and you Pallas Athena
ἔγχει ἐμῷ δαμάᾳ· νῦν δ' ἀθρόα πάντ' ἀποτείσεις
by-spear my will-subdue now and all-together all you-will-pay-for
κήδε' ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θύων."
the-sorrows of-my comrades whom you-killed with-the-spear raging
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος·
He-spoke then and having-poised sent-forth long-shadowed spear
καὶ τὸ μὲν ἄντα ἰδὼν ἠλεύατο φαίδιμος Ἕκτωρ·
and it indeed facing looking avoided glorious Hector

ἔζετο γὰρ προϊδών, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος,
he-crouched for foreseeing(-it) it and flew-over bronze spear
ἐν γαίῃ δ' ἐπάγη· ἀνὰ δ' ἥρπασε Παλλὰς Ἀθήνη,
in earth and stuck up and snatched Pallas Athena
ἂψ δ' Ἀχιλῆϊ δίδου, λάθε δ' Ἕκτορα, ποιμένα λαῶν.
back and to-Achilles gave escaped-the-notice and Hector shepherd of-the-people
Ἕκτωρ δὲ προσέειπεν ἀμύμονα Πηλεΐωνα·
Hector and addressed blameless the-son-of-Peleus
"ἤμβροτες, οὐδ' ἄρα πώ τι, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
you-missed nor then yet at-all to-the-gods like Achilles
ἐκ Διὸς ἠείδης τὸν ἐμὸν μόρον· ἦ τοι ἔφης γε·
from Zeus you-knew the my fate truly you-know you-said indeed
ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων,
but some glib and crafty you-were of-words
ὄφρα σ' ὑποδείσας μένεος ἀλκῆς τε λάθωμαι.
that you fearing of-strength of-courage and I-forget
οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις,
not indeed my fleeing back in spear you-will-plant
ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον,
but straight eager through chest drive(-it)
εἴ τοι ἔδωκε θεός· νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι
if to-you granted a-god now in-turn my spear avoid
χάλκεον· ὡς δή μιν σῷ ἐν χροΐ πᾶν κομίσαιο.
bronze would-that indeed it your in flesh all you-took
καί κεν ἐλαφρότερος πόλεμος Τρώεσσι γένοιτο
and — lighter war for-the-Trojans would-become
σεῖο καταφθιμένοιο· σὺ γάρ σφισι πῆμα μέγιστον."
you having-perished you for to-them bane greatest

Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
He-spoke then and having-poised sent-forth long-shadowed spear
καὶ βάλε Πηλεΐδαο μέσον σάκος οὐδ' ἀφάμαρτε· 290
and struck of-the-son-of-Peleus middle shield nor missed
τῆλε δ' ἀπεπλάγχθη σάκεος δόρυ· χώσατο δ' Ἕκτωρ
far and was-driven-off from-the-shield the-spear was-angered and Hector
ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός,
that then his missile swift vain fled from-hand
στῆ δὲ κατηφήσας, οὐδ' ἄλλ' ἔχε μείλινον ἔγχος.
stood and downcast nor other had ashen spear
Δηΐφοβον δὲ κάλει λευκάσπιδα μακρὸν ἀΰσας·
Deiphobus and he-called white-shielded loudly shouting
ᾔτεέ μιν δόρυ μακρόν· ὁ δ' οὔ τί οἱ ἐγγύθεν ἦεν· 295
asked him spear long he and not at-all to-him near was
Ἕκτωρ δ' ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε·
Hector and knew his in mind spoke and
"ὤ πόποι, ἦ μάλα δή με θεοὶ θάνατόνδε κάλεσσαν·
oh for-shame truly greatly indeed me the-gods to-death have-called
Δηΐφοβον γὰρ ἔγωγ' ἐφάμην ἥρωα παρεῖναι·
Deiphobus for I-indeed thought the-hero to-be-at-hand
ἀλλ' ὁ μὲν ἐν τείχει, ἐμὲ δ' ἐξαπάτησεν Ἀθήνη.
but he indeed in the-wall me and deceived Athena
νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακός, οὐδ' ἔτ' ἄνευθεν, 300
now and indeed near to-me death evil nor longer far
οὐδ' ἀλέη· ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν
nor escape truly for then long-ago this indeed dearer was
Ζηνί τε καὶ Διὸς υἱῖ ἑκηβόλῳ, οἵ με πάρος γε
to-Zeus both and of-Zeus to-the-son far-shooting who me before indeed
πρόφρονες εἰρύατο· νῦν αὖτέ με μοῖρα κιχάνει.
readily protected now again me fate overtakes

μὴ μὰν ἀσπουδί γε καὶ ἀκλειῶς ἀπολοίμην,
not surely without-effort indeed and ingloriously may-I-perish
ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι."
but great having-done something even for-those-to-come to-learn
Ὣς ἄρα φωνήσας εἰρύσσατο φάσγανον ὀξύ,
So then having-spoken he-drew sword sharp
τό οἱ ὑπὸ λαπάρην τέτατο μέγα τε στιβαρόν τε,
which his under flank hung great both strong and
οἴμησεν δὲ ἀλεὶς ὥς τ' αἰετὸς ὑψιπετήεις,
swooped and gathered-up like — an-eagle high-flying
ὅς τ' εἶσιν πεδίονδε διὰ νεφέων ἐρεβεννῶν
which — goes to-the-plain through clouds dark
ἁρπάξων ἢ ἄρν' ἀμαλὴν ἢ πτῶκα λαγωόν·
to-snatch either a-lamb tender or a-cowering hare
ὣς Ἕκτωρ οἴμησε τινάσσων φάσγανον ὀξύ.
so Hector swooped brandishing sword sharp
ὁρμήθη δ' Ἀχιλεύς, μένεος δ' ἐμπλήσατο θυμὸν
rushed and Achilles with-strength and he-filled heart
ἀγρίου, πρόσθεν δὲ σάκος στέρνοιο κάλυψε
savage in-front and shield of-chest covered
καλὸν δαιδάλεον, κόρυθι δ' ἐπένευε φαεινῇ
fair richly-wrought with-helmet and nodded bright
τετραφάλῳ· καλαὶ δὲ περισσείοντο ἔθειραι
four-horned fair and waved-about plumes
χρύσεαι, ἃς Ἥφαιστος ἴει λόφον ἀμφὶ θαμειάς.
golden which Hephaestus set crest around thick
οἷος δ' ἀστὴρ εἶσι μετ' ἀστράσι νυκτὸς ἀμολγῷ
as and a-star goes among stars of-night in-the-milking-time
ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ,
the-evening-star which fairest in heaven stands star

ὣς αἰχμῆς ἀπέλαμπ᾽ εὐήκεος, ἣν ἄρ᾽ Ἀχιλλεὺς
so from-the-spear-point gleamed well-sharpened which then Achilles
πάλλεν δεξιτερῇ φρονέων κακὸν Ἕκτορι δίῳ,
brandished in-right-hand planning evil for-Hector noble
εἰσορόων χρόα καλόν, ὅπῃ εἴξειε μάλιστα.
looking-at flesh fair where it-would-yield most
τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχεα,
of-him and also elsewhere so-much indeed held flesh bronze armor
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξε κατακτάς·
fair which of-Patroclus the-might he-stripped having-killed
φαίνετο δ᾽ ᾗ κληῖδες ἀπ᾽ ὤμων αὐχέν᾽ ἔχουσι,
showed and where collarbones from shoulders neck hold
λαυκανίην, ἵνα τε ψυχῆς ὤκιστος ὄλεθρος·
the-throat where — of-life swiftest destruction
τῇ ῥ᾽ ἐπὶ οἱ μεμαῶτ᾽ ἔλασ᾽ ἔγχεϊ δῖος Ἀχιλλεύς,
there then at him eager drove with-the-spear noble Achilles
ἀντικρὺ δ᾽ ἀπαλοῖο δι᾽ αὐχένος ἤλυθ᾽ ἀκωκή·
right-through and soft through neck went the-point
οὐδ᾽ ἄρ᾽ ἀπ᾽ ἀσφάραγον μελίη τάμε χαλκοβάρεια,
nor then off windpipe ash-spear cut bronze-heavy
ὄφρα τί μιν προτιείποι ἀμειβόμενος ἐπέεσσιν.
so-that something to-him he-might-say answering with-words
ἤριπε δ᾽ ἐν κονίῃς· ὁ δ᾽ ἐπεύξατο δῖος Ἀχιλλεύς·
he-fell and in dust he and exulted noble Achilles
“ Ἕκτορ, ἀτάρ που ἔφης Πατροκλῆ᾽ ἐξεναρίζων
Hector but surely you-said Patroclus despoiling
σῶς ἔσσεσθ᾽, ἐμὲ δ᾽ οὐδὲν ὀπίζεο νόσφιν ἐόντα,
safe you-would-be me and nothing you-heeded apart being

νήπιε· τοῖο δ' ἄνευθεν ἀοσσητὴρ μέγ' ἀμείνων
fool of-him and far-away a-helper much better
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγὼ μετόπισθε λελείμμην,
ships at hollow I behind was-left
ὅς τοι γούνατ' ἔλυσα· σὲ μὲν κύνες ἠδ' οἰωνοὶ
who your knees loosed you indeed dogs and birds
ἑλκήσουσ' ἀϊκῶς, τὸν δὲ κτεριοῦσιν Ἀχαιοί."
will-tear shamefully him and will-bury the-Achaeans

XXII.5 · THE BODY DRAGGED

Hector begs Achilles to return his body to his parents. Achilles swears no ransom will keep the dogs from him. Dying, Hector foretells that Paris and Apollo will kill Achilles at the Scaean Gates. The Achaeans stab the body. Achilles pierces Hector's ankles, ties him to his chariot, and drags him toward the ships.

Τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ·
Him and feebly addressed helmet-flashing Hector
"λίσσομ' ὑπὲρ ψυχῆς καὶ γούνων σῶν τε τοκήων,
I-beseech(-you) by life and knees your and parents
μή με ἔα παρὰ νηυσὶ κύνας καταδάψαι Ἀχαιῶν,
not me allow beside the-ships dogs to-devour of-the-Achaeans
ἀλλὰ σὺ μὲν χαλκόν τε ἅλις χρυσόν τε δέδεξο,
but you indeed bronze both enough gold and accept
δῶρα τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ,
gifts which to-you will-give father and queenly mother
σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
body and homeward my to-give back that of-fire me
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα."
the-Trojans and of-the-Trojans wives may-give-share dead

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Him and then from-under looking addressed in-feet swift Achilles
"μή με, κύον, γούνων γουνάζεο μηδὲ τοκήων·
not me dog by-knees entreat nor by-parents
αἴ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη
if-only for somehow myself me strength and heart would-let
ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι, οἷα ἔοργας,
raw cutting-up flesh to-eat such-things you-have-done
ὡς οὐκ ἔσθ' ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι,
as not there-is who your indeed the-dogs from-head might-ward-off
οὐδ' εἴ κεν δεκάκις τε καὶ εἰκοσινήριτ' ἄποινα
not-even if — tenfold both and twentyfold ransom
στήσωσ' ἐνθάδ' ἄγοντες, ὑπόσχωνται δὲ καὶ ἄλλα,
they-should-weigh-out here bringing should-promise and also more
οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι
not-even if — you yourself with-gold to-weigh should-bid
Δαρδανίδης Πρίαμος· οὐδ' ὥς σέ γε πότνια μήτηρ
the-son-of-Dardanus Priam not-even so you indeed queenly mother
ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν τέκεν αὐτή,
having-laid on-a-bier shall-mourn whom bore herself
ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται."
but dogs both and birds down all shall-divide
Τὸν δὲ καταθνήσκων προσέφη κορυθαίολος Ἕκτωρ·
Him and dying addressed helmet-flashing Hector
"ἦ σ' εὖ γιγνώσκων προτιόσσομαι, οὐδ' ἄρ' ἔμελλον
truly you well knowing I-foresee nor then was-I-going
πείσειν· ἦ γὰρ σοί γε σιδήρεος ἐν φρεσὶ θυμός.
to-persuade(-you) truly for your indeed iron in mind heart

φράζεο νῦν, μή τοί τι θεῶν μήνιμα γένωμαι
take-heed now lest to-you any of-gods a-cause-of-wrath I-become
ἤματι τῷ ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων
on-day that when — you Paris and Phoebus Apollo
ἐσθλὸν ἐόντ᾽ ὀλέσωσιν ἐνὶ Σκαιῇσι πύλῃσιν.᾽᾽
good being destroy at the-Scaean gates
Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε,
So then him having-spoken the-end of-death covered
ψυχὴ δ᾽ ἐκ ῥεθέων πταμένη Ἄϊδόσδε βεβήκει,
the-soul and from the-limbs flying to-Hades went
ὃν πότμον γοόωσα, λιποῦσ᾽ ἀνδροτῆτα καὶ ἥβην.
its fate bewailing leaving manhood and youth
τὸν καὶ τεθνηῶτα προσηύδα δῖος Ἀχιλλεύς·
him even dead addressed noble Achilles
᾽᾽τέθναθι· κῆρα δ᾽ ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
be-dead the-doom and I then will-accept whenever — indeed
Ζεὺς ἐθέλῃ τελέσαι ἠδ᾽ ἀθάνατοι θεοὶ ἄλλοι.᾽᾽
Zeus wishes to-accomplish(-it) and immortal gods other
Ἦ ῥα, καὶ ἐκ νεκροῖο ἐρύσσατο χάλκεον ἔγχος,
He-spoke then and from the-corpse drew bronze spear
καὶ τό γ᾽ ἄνευθεν ἔθηχ᾽, ὁ δ᾽ ἀπ᾽ ὤμων τεύχε᾽ ἐσύλα
and it indeed apart set he and from the-shoulders armor stripped
αἱματόεντ᾽· ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν,
bloody others and ran-around the-sons of-the-Achaeans
οἳ καὶ θηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν
who also gazed-at the-stature and form wondrous
Ἕκτορος· οὐδ᾽ ἄρα οἵ τις ἀνουτητί γε παρέστη.
of-Hector nor then to-him any without-wounding indeed stood-by
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
thus and someone would-say looking to neighbor other

"ὦ πόποι, ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάασθαι
oh for-shame truly greatly indeed softer to-handle
Ἕκτωρ ἢ ὅτε νῆας ἐνέπρησεν πυρὶ κηλέῳ."
Hector than when the-ships he-burned with-fire blazing
Ὣς ἄρα τις εἴπεσκε καὶ οὐτήσασκε παραστάς. 375
So then someone would-say and would-stab standing-by
τὸν δ' ἐπεὶ ἐξενάριξε ποδάρκης δῖος Ἀχιλλεύς,
him and when had-stripped swift-footed noble Achilles
στὰς ἐν Ἀχαιοῖσιν ἔπεα πτερόεντ' ἀγόρευεν·
standing among the-Achaeans words winged spoke
"ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
O friends of-the-Argives leaders and rulers
ἐπεὶ δὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν,
since indeed this man the-gods to-subdue have-granted
ὃς κακὰ πόλλ' ἔρρεξεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι, 380
who evils many wrought as-many-as not all-together the others
εἰ δ' ἄγετ' ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθέωμεν,
if and come around the-city with arms let-us-make-trial
ὄφρα κ' ἔτι γνῶμεν Τρώων νόον, ὅν τιν' ἔχουσιν,
so-that — still we-may-know of-the-Trojans the-mind which any they-have
ἢ καταλείψουσιν πόλιν ἄκρην τοῦδε πεσόντος,
whether they-will-leave the-city high this-man having-fallen
ἦε μένειν μεμάασι καὶ Ἕκτορος οὐκέτ' ἐόντος.
or to-stay are-eager even Hector no-longer being
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός; 385
but why to-me these-things dear debated heart

κεῖται πὰρ νήεσσι νέκυς ἄκλαυτος ἄθαπτος
lies by the-ships a-corpse unwept unburied
Πάτροκλος· τοῦ δ' οὐκ ἐπιλήσομαι, ὄφρ' ἂν ἔγωγε
Patroclus him and not I-will-forget while — I-indeed
ζωοῖσιν μετέω καί μοι φίλα γούνατ' ὀρώρῃ·
among-the-living am and for-me dear knees move
εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἄϊδαο,
if and of-the-dead though they-forget in of-Hades
αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου.
but I even there of-dear will-remember comrade
νῦν δ' ἄγ' ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν
now and come singing the-paean youths of-the-Achaeans
νηυσὶν ἔπι γλαφυρῇσι νεώμεθα, τόνδε δ' ἄγωμεν.
ships to hollow let-us-go this-man and let-us-take
ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
we-have-won great glory we-have-slain Hector noble
ᾧ Τρῶες κατὰ ἄστυ θεῷ ὡς εὐχετόωντο."
to-whom the-Trojans throughout the-town to-a-god as prayed
Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα.
He-spoke then and for-Hector noble shameful devised deeds
ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε
of-both behind of-feet he-pierced the-tendons
ἐς σφυρὸν ἐκ πτέρνης, βοέους δ' ἐξῆπτεν ἱμάντας,
to the-ankle from the-heel of-oxhide and fastened thongs
ἐκ δίφροιο δ' ἔδησε, κάρη δ' ἕλκεσθαι ἔασεν·
to the-chariot and bound the-head and to-drag he-let
ἐς δίφρον δ' ἀναβὰς ἀνά τε κλυτὰ τεύχε' ἀείρας
into the-chariot and having-mounted up and the-glorious arms having-lifted
μάστιξέν ῥ' ἐλάαν, τὼ δ' οὐκ ἀέκοντε πετέσθην.
he-lashed then to-drive they-two and not unwilling flew

τοῦ δ' ἦν ἑλκομένοιο κονίσαλος, ἀμφὶ δὲ χαῖται
of-him and was as-he-was-dragged dust around and the-locks
κυάνεαι πίτναντο, κάρη δ' ἅπαν ἐν κονίῃσι
dark spread head and all in dust
κεῖτο πάρος χαρίεν· τότε δὲ Ζεὺς δυσμενέεσσι
lay before graceful then and Zeus to-the-enemies
δῶκεν ἀεικίσσασθαι ἑῇ ἐν πατρίδι γαίῃ.
gave to-outrage his-own in native land

XXII.6 · ANDROMACHE'S LAMENT

Hecuba tears her hair and Priam wails, and the people hold him back as he begs to go to Achilles to plead for the body. Hecuba laments her son. Andromache, weaving in the house and preparing a bath for Hector, hears the wailing, runs to the wall, sees him dragged, and faints, casting off the headdress Aphrodite gave her. She laments that they were born to one fate, and that Astyanax will be an orphan shut out from feasts; she will burn Hector's clothes, since they are no use to him.

Ὣς τοῦ μὲν κεκόνιτο κάρη ἅπαν· ἡ δέ νυ μήτηρ
So of-him indeed was-befouled-with-dust the-head all she and now mother
τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην
tore hair away and shining cast veil
τηλόσε, κώκυσεν δὲ μάλα μέγα παῖδ' ἐσιδοῦσα·
far shrieked and very loudly the-son seeing
ὤμωξεν δ' ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοὶ
groaned and piteously the-father dear around and the-people
κωκυτῷ τ' εἴχοντο καὶ οἰμωγῇ κατὰ ἄστυ.
with-shrieking both were-held and with-wailing throughout the-town

τῷ δὲ μάλιστ᾽ ἄρ᾽ ἔην ἐναλίγκιον, ὡς εἰ ἅπασα
to-this and most then it-was like as if all
Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ᾽ ἄκρης.
Ilium beetling with-fire were-smoldering from top
λαοὶ μέν ῥα γέροντα μόγις ἔχον ἀσχαλόωντα,
the-people indeed then the-old-man hardly held distraught
ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων.
to-go-out eager of-the-gates Dardanian
πάντας δὲ λιτάνευε κυλινδόμενος κατὰ κόπρον,
all and he-entreated rolling in dung
ἐξ ὀνομακλήδην ὀνομάζων ἄνδρα ἕκαστον·
out by-name naming man each
"σχέσθε, φίλοι, καί μ᾽ οἷον ἐάσατε κηδόμενοί περ
hold-off friends and me alone allow caring though
ἐξελθόντα πόληος ἰκέσθ᾽ ἐπὶ νῆας Ἀχαιῶν.
going-out from-the-city to-come to the-ships of-the-Achaeans
λίσσωμ᾽ ἀνέρα τοῦτον ἀτάσθαλον ὀβριμοεργόν,
let-me-beseech man this reckless violent-in-deed
ἤν πως ἡλικίην αἰδέσσεται ἠδ᾽ ἐλεήσῃ
if somehow my-age he-will-respect and pity
γῆρας· καὶ δέ νυ τῷ γε πατὴρ τοιόσδε τέτυκται
old-age and also now to-him indeed a-father such is
Πηλεύς, ὅς μιν ἔτικτε καὶ ἔτρεφε πῆμα γενέσθαι
Peleus who him begot and reared a-bane to-become
Τρωσί· μάλιστα δ᾽ ἐμοὶ περὶ πάντων ἄλγε᾽ ἔθηκε.
to-the-Trojans most and to-me above all woes he-made
τόσσους γάρ μοι παῖδας ἀπέκτανε τηλεθάοντας·
so-many for of-mine sons he-killed flourishing

τῶν πάντων οὐ τόσσον ὀδύρομαι ἀχνύμενός περ
for-them all not so-much I-lament grieving though
ὡς ἑνός, οὗ μ' ἄχος ὀξὺ κατοίσεται Ἄϊδος εἴσω,
as for-one for-whom me grief sharp will-bring-down of-Hades within
Ἕκτορος· ὡς ὄφελεν θανέειν ἐν χερσὶν ἐμῇσι·
for-Hector would-that he-had to-die in hands my
τῷ κε κορεσσάμεθα κλαίοντέ τε μυρομένω τε,
then — we-would-have-had-our-fill weeping both lamenting and
μήτηρ θ', ἥ μιν ἔτικτε δυσάμμορος, ἠδ' ἐγὼ αὐτός."
mother and who him bore ill-fated and I myself
Ὣς ἔφατο κλαίων, ἐπὶ δὲ στενάχοντο πολῖται·
So he-spoke weeping thereat and groaned the-citizens
Τρῳῇσιν δ' Ἑκάβη ἀδινοῦ ἐξῆρχε γόοιο·
among-the-Trojan-women and Hecuba vehement led lament
"τέκνον, ἐγὼ δειλή· τί νυ βείομαι αἰνὰ παθοῦσα,
child I wretched why now shall-I-live dread-things having-suffered
σεῦ ἀποτεθνηῶτος; ὅ μοι νύκτας τε καὶ ἦμαρ
you having-died who to-me nights both and day
εὐχωλὴ κατὰ ἄστυ πελέσκεο, πᾶσί τ' ὄνειαρ
a-boast throughout the-town you-were to-all and a-blessing
Τρωσί τε καὶ Τρῳῇσι κατὰ πτόλιν, οἵ σε θεὸν ὣς
to-the-Trojans both and Trojan-women throughout the-city who you a-god as
δειδέχατ'· ἦ γὰρ καί σφι μάλα μέγα κῦδος ἔησθα
greeted truly for even for-them very great glory you-were
ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει."
living being now again death and fate overtakes

Ὣς ἔφατο κλαίουσ', ἄλοχος δ' οὔ πώ τι πέπυστο
So she-spoke weeping the-wife and not yet at-all had-learned
Ἕκτορος· οὐ γάρ οἵ τις ἐτήτυμος ἄγγελος ἐλθὼν
of-Hector not for to-her any true messenger having-come
ἤγγειλ' ὅττι ῥά οἱ πόσις ἔκτοθι μίμνε πυλάων,
announced that then her husband outside remained the-gates
ἀλλ' ἥ γ' ἱστὸν ὕφαινε μυχῷ δόμου ὑψηλοῖο
but she indeed a-web was-weaving in-the-inner-room of-the-house high
δίπλακα πορφυρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσε.
double purple in and flowers varied she-sprinkled
κέκλετο δ' ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ δῶμα
she-called and to-the-maids fair-tressed through the-house
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο
around fire to-set tripod great so-that might-be
Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκ νοστήσαντι,
for-Hector warm baths battle out-of returning
νηπίη, οὐδ' ἐνόησεν ὅ μιν μάλα τῆλε λοετρῶν
foolish nor knew that him very far from-baths
χερσὶν Ἀχιλλῆος δάμασε γλαυκῶπις Ἀθήνη.
by-hands of-Achilles subdued flashing-eyed Athena
κωκυτοῦ δ' ἤκουσε καὶ οἰμωγῆς ἀπὸ πύργου·
of-shrieking and she-heard and of-wailing from the-tower
τῆς δ' ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεσε κερκίς·
her and were-shaken limbs to-the-ground and her fell the-shuttle
ἡ δ' αὖτις δμῳῇσιν ἐϋπλοκάμοισι μετηύδα·
she and again to-the-handmaids fair-tressed spoke
"δεῦτε, δύω μοι ἕπεσθον, ἴδωμ' ὅτιν' ἔργα τέτυκται.
come two me follow let-me-see what deeds have-been-done

αἰδοίης ἑκυρῆς ὀπὸς ἔκλυον, ἐν δ᾽ ἐμοὶ αὐτῇ
of-revered mother-in-law the-voice I-heard in and me myself
στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα
breast leaps heart up-to mouth below and knees
πήγνυται· ἐγγὺς δή τι κακὸν Πριάμοιο τέκεσσιν.
are-frozen near indeed some evil of-Priam for-children
αἲ γὰρ ἀπ᾽ οὔατος εἴη ἐμεῦ ἔπος· ἀλλὰ μάλ᾽ αἰνῶς
if-only for from ear be my the-word but very dreadfully
δείδω μὴ δή μοι θρασὺν Ἕκτορα δῖος Ἀχιλλεὺς
I-fear lest indeed for-me bold Hector noble Achilles
μοῦνον ἀποτμήξας πόλιος πεδίονδε δίηται,
alone having-cut-off from-the-city to-the-plain chase
καὶ δή μιν καταπαύσῃ ἀγηνορίης ἀλεγεινῆς,
and indeed him make-cease of-manliness grievous
ἥ μιν ἔχεσκ᾽, ἐπεὶ οὔ ποτ᾽ ἐνὶ πληθυῖ μένεν ἀνδρῶν,
which him held since not ever in multitude he-remained of-men
ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων.᾽᾽
but far ran-ahead the his strength to-none yielding
Ὣς φαμένη μεγάροιο διέσσυτο μαινάδι ἴση,
So having-said through-the-hall she-rushed to-a-maenad like
παλλομένη κραδίην· ἅμα δ᾽ ἀμφίπολοι κίον αὐτῇ.
throbbing in-heart together and maids went with-her
αὐτὰρ ἐπεὶ πύργόν τε καὶ ἀνδρῶν ἶξεν ὅμιλον,
but when the-tower both and of-men she-reached the-throng
ἔστη παπτήνασ᾽ ἐπὶ τείχεϊ, τὸν δὲ νόησεν
she-stood having-peered on the-wall him and she-saw
ἑλκόμενον πρόσθεν πόλιος· ταχέες δέ μιν ἵπποι
dragged in-front-of the-city swift and him horses
ἕλκον ἀκηδέστως κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
dragged ruthlessly hollow to ships of-the-Achaeans

τὴν δὲ κατ᾽ ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν,
her and down-over eyes dark night covered
ἤριπε δ᾽ ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε.
she-fell and backward away and soul she-gasped
τῆλε δ᾽ ἀπὸ κρατὸς βάλε δέσματα σιγαλόεντα,
far and from head cast bindings shining
ἄμπυκα κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέσμην
frontlet net both and plaited headband
κρήδεμνόν θ᾽, ὅ ῥά οἱ δῶκε χρυσέη Ἀφροδίτη
veil and which then her gave golden Aphrodite
ἤματι τῷ ὅτε μιν κορυθαίολος ἠγάγεθ᾽ Ἕκτωρ
on-day that when her helmet-flashing led Hector
ἐκ δόμου Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα.
from the-house of-Eetion when he-gave countless bride-gifts
ἀμφὶ δέ μιν γαλόῳ τε καὶ εἰνατέρες ἄλις ἔσταν,
around and her husband's-sisters both and brothers'-wives many stood
αἵ ἑ μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι.
who her among themselves held dazed to-perish
ἡ δ᾽ ἐπεὶ οὖν ἔμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
she and when then revived and into mind spirit was-gathered
ἀμβλήδην γοόωσα μετὰ Τρῳῇσιν ἔειπεν·
with-sobs lamenting among Trojan-women spoke
"Ἕκτορ, ἐγὼ δύστηνος· ἰῇ ἄρα γιγνόμεθ᾽ αἴσῃ
Hector I wretched to-one then we-were-born fate
ἀμφότεροι, σὺ μὲν ἐν Τροίῃ Πριάμου κατὰ δῶμα,
both you indeed in Troy of-Priam in house

αὐτὰρ ἐγὼ Θήβῃσιν ὑπὸ Πλάκῳ ὑληέσσῃ
but I in-Thebe under Placus wooded
ἐν δόμῳ Ἠετίωνος, ὅ μ' ἔτρεφε τυτθὸν ἐοῦσαν
in house of-Eetion who me reared little being
δύσμορος αἰνόμορον· ὡς μὴ ὤφελλε τεκέσθαι.
ill-fated one-of-dread-fate would-that not he-had to-beget
νῦν δὲ σὺ μὲν Ἀΐδαο δόμους ὑπὸ κεύθεσι γαίης
now and you indeed of-Hades to-the-house under depths of-earth
ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῷ ἐνὶ πένθεϊ λείπεις
go but me hateful in grief you-leave
χήρην ἐν μεγάροισι· πάϊς δ' ἔτι νήπιος αὔτως,
a-widow in halls the-child and still infant merely
ὃν τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι· οὔτε σὺ τούτῳ
whom we-bore you both I and ill-fated neither you to-him
ἔσσεαι, Ἕκτορ, ὄνειαρ, ἐπεὶ θάνες, οὔτε σοὶ οὗτος.
will-be Hector a-blessing since you-died nor to-you he
ἦν περ γὰρ πόλεμόν γε φύγῃ πολύδακρυν Ἀχαιῶν,
if indeed for war indeed he-escape tearful of-the-Achaeans
αἰεί τοι τούτῳ γε πόνος καὶ κήδε' ὀπίσσω
always you-know for-him indeed toil and sorrows hereafter
ἔσσονται· ἄλλοι γάρ οἱ ἀπουρίσσουσιν ἀρούρας.
will-be others for his will-remove-the-boundaries-of fields
ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησι·
day and of-orphanhood friendless the-child makes
πάντα δ' ὑπεμνήμυκε, δεδάκρυνται δὲ παρειαί,
in-all and he-hangs-his-head are-wet-with-tears and cheeks
δευόμενος δέ τ' ἄνεισι πάϊς ἐς πατρὸς ἑταίρους,
needy and — goes-up the-child to father's comrades
ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος·
one indeed by-cloak plucking another and by-tunic

τῶν δ' ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχε,
of-them and having-pitied cup some little held-out
χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐκ ἐδίηνε.
lips indeed — he-wet palate but not wetted
τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξε
him and also one-with-both-parents from feast drives-away
χερσὶν πεπληγὼς καὶ ὀνειδείοισιν ἐνίσσων·
with-hands striking and with-reproaches assailing
'ἔρρ' οὕτως· οὐ σός γε πατὴρ μεταδαίνυται ἡμῖν.'
begone thus not your indeed father feasts-with us
δακρυόεις δέ τ' ἄνεισι πάϊς ἐς μητέρα χήρην,
tearful and — goes-up the-child to mother widowed
Ἀστυάναξ, ὃς πρὶν μὲν ἑοῦ ἐπὶ γούνασι πατρὸς
Astyanax who before indeed his-own on knees father's
μυελὸν οἶον ἔδεσκε καὶ οἰῶν πίονα δημόν·
marrow only ate and of-sheep rich fat
αὐτὰρ ὅθ' ὕπνος ἕλοι, παύσαιτό τε νηπιαχεύων,
but when sleep took stopped and playing-like-a-child
εὕδεσκ' ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης,
he-slept in a-bed in arms of-the-nurse
εὐνῇ ἔνι μαλακῇ, θαλέων ἐμπλησάμενος κῆρ·
bed in soft with-good-things having-filled heart
νῦν δ' ἂν πολλὰ πάθῃσι, φίλου ἀπὸ πατρὸς ἀμαρτών,
now but — many suffer dear from father having-lost
Ἀστυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν·
Astyanax whom the-Trojans by-surname call
οἷος γάρ σφιν ἔρυσο πύλας καὶ τείχεα μακρά.
alone for for-them you-guarded the-gates and walls long

νῦν δὲ σὲ μὲν παρὰ νηυσὶ κορωνίσι νόσφι τοκήων
now but you indeed by ships beaked apart-from parents
αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται,
wriggling worms will-eat when — dogs have-had-their-fill
γυμνόν· ἀτάρ τοι εἵματ' ἐνὶ μεγάροισι κέονται
naked but you-know clothes in halls lie
λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν.
fine both and graceful made by-hands of-women
ἀλλ' ἤτοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ,
but truly these all I-will-burn with-fire blazing
οὐδὲν σοί γ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς,
no for-you indeed use since not you-will-lie-in them
ἀλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων κλέος εἶναι."
but before the-Trojans and Trojan-women glory to-be
Ὣς ἔφατο κλαίουσ', ἐπὶ δὲ στενάχοντο γυναῖκες.
So she-spoke weeping thereat and groaned the-women

BOOK XXIII

XXIII.1 · THE GHOST OF PATROCLUS

The Myrmidons drive their chariots three times around the body, weeping. Achilles lays his hands on Patroclus' chest and promises him Hector for the dogs and twelve Trojans at his pyre; Hector lies face down in the dust. After a feast, Achilles refuses to wash before Patroclus is burned. That night on the shore he sees Patroclus' ghost, which asks for quick burial, foretells Achilles' death at Troy, and asks that their bones lie in one urn. Achilles reaches for him, and the ghost vanishes like smoke.

Ὣς οἱ μὲν στενάχοντο κατὰ πτόλιν· αὐτὰρ Ἀχαιοὶ
So they indeed groaned throughout the-city but the-Achaeans
ἐπεὶ δὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο,
when indeed the-ships both and the-Hellespont reached
οἱ μὲν ἄρ' ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος,
they indeed then scattered his to ship each
Μυρμιδόνας δ' οὐκ εἴα ἀποσκίδνασθαι Ἀχιλλεύς,
the-Myrmidons but not allowed to-scatter Achilles
ἀλλ' ὅ γε οἷς ἑτάροισι φιλοπτολέμοισι μετηύδα·
but he indeed to-his comrades war-loving spoke
"Μυρμιδόνες ταχύπωλοι, ἐμοὶ ἐρίηρες ἑταῖροι,
Myrmidons of-swift-horses my trusty comrades
μὴ δή πω ὑπ' ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
not indeed yet from-under the-chariots let-us-loose the-single-hoofed horses
ἀλλ' αὐτοῖς ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντες
but with-very horses and chariots nearer going
Πάτροκλον κλαίωμεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων.
Patroclus let-us-mourn this for the-honor is of-the-dead

αὐτὰρ ἐπεί κ᾽ ὀλοοῖο τεταρπώμεσθα γόοιο,
but when — of-baneful we-have-taken-our-fill lament
ἵππους λυσάμενοι δορπήσομεν ἐνθάδε πάντες.”
horses having-loosed we-will-sup here all
Ὣς ἔφαθ᾽, οἱ δ᾽ ὤμωξαν ἀολλέες, ἦρχε δ᾽ Ἀχιλλεύς.
So he-spoke they and groaned all-together led and Achilles
οἱ δὲ τρὶς περὶ νεκρὸν ἐΰτριχας ἤλασαν ἵππους
they and thrice around the-corpse fair-maned drove horses
μυρόμενοι· μετὰ δέ σφι Θέτις γόου ἵμερον ὦρσε.
lamenting among and them Thetis for-lament a-longing roused
δεύοντο ψάμαθοι, δεύοντο δὲ τεύχεα φωτῶν
were-wet the-sands were-wet and the-arms of-the-men
δάκρυσι· τοῖον γὰρ πόθεον μήστωρα φόβοιο.
with-tears such for they-missed deviser of-rout
τοῖσι δὲ Πηλεΐδης ἀδινοῦ ἐξῆρχε γόοιο,
among-them and the-son-of-Peleus vehement led lament
χεῖρας ἐπ᾽ ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου·
hands on man-slaying having-laid chest of-his-comrade
“χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀΐδαο δόμοισι·
hail for-me O Patroclus even in of-Hades the-house
πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην,
all for already for-you I-accomplish which before I-promised
Ἕκτορα δεῦρ᾽ ἐρύσας δώσειν κυσὶν ὠμὰ δάσασθαι,
Hector hither having-dragged to-give to-dogs raw to-tear
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσειν
twelve and in-front-of the-pyre to-cut-the-throats-of
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.”
of-the-Trojans glorious children for-you slain angered

Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα,
He-spoke then and for-Hector noble shameful devised deeds
πρηνέα πὰρ λεχέεσσι Μενοιτιάδαο τανύσσας
prone beside the-bier of-the-son-of-Menoetius stretching(-him)
ἐν κονίῃς· οἱ δ' ἔντε' ἀφοπλίζοντο ἕκαστος
in dust they and armor took-off each
χάλκεα μαρμαίροντα, λύον δ' ὑψηχέας ἵππους,
bronze gleaming loosed and high-neighing horses
κὰδ δ' ἷζον παρὰ νηῒ ποδώκεος Αἰακίδαο
down and sat beside the-ship of-the-swift-footed son-of-Aeacus
μυρίοι· αὐτὰρ ὁ τοῖσι τάφον μενοεικέα δαίνυ.
countless but he for-them funeral-feast heart-pleasing gave
πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ
many indeed oxen white bellowed around the-iron
σφαζόμενοι, πολλοὶ δ' ὄϊες καὶ μηκάδες αἶγες·
being-slaughtered many and sheep and bleating goats
πολλοὶ δ' ἀργιόδοντες ὗες, θαλέθοντες ἀλοιφῇ,
many and white-tusked swine abounding with-fat
εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο·
singeing were-stretched across the-flame of-Hephaestus
πάντῃ δ' ἀμφὶ νέκυν κοτυλήρυτον ἔρρεεν αἷμα.
everywhere and around the-corpse in-cupfuls flowed blood
Αὐτὰρ τόν γε ἄνακτα ποδώκεα Πηλεΐωνα
But him indeed the-lord swift-footed the-son-of-Peleus
εἰς Ἀγαμέμνονα δῖον ἄγον βασιλῆες Ἀχαιῶν,
to Agamemnon noble led the-kings of-the-Achaeans
σπουδῇ παρπεπιθόντες ἑταίρου χωόμενον κῆρ.
hardly having-persuaded for-his-comrade angered heart
οἱ δ' ὅτε δὴ κλισίην Ἀγαμέμνονος ἶξον ἰόντες,
they and when indeed the-hut of-Agamemnon reached going

αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσαν
at-once heralds clear-voiced they-bade
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, εἰ πεπίθοιεν
around fire to-set tripod great if they-might-persuade
Πηλεΐδην λούσασθαι ἄπο βρότον αἱματόεντα.
the-son-of-Peleus to-wash from gore bloody
αὐτὰρ ὅ γ' ἠρνεῖτο στερεῶς, ἐπὶ δ' ὅρκον ὄμοσσεν·
but he indeed refused stubbornly thereto and an-oath he-swore
"οὐ μὰ Ζῆν', ὅς τίς τε θεῶν ὕπατος καὶ ἄριστος,
no by Zeus who any — of-gods highest and best
οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἆσσον ἱκέσθαι,
not right is baths of-the-head near to-come
πρίν γ' ἐνὶ Πάτροκλον θέμεναι πυρὶ σῆμά τε χεῦαι
before indeed on Patroclus to-lay fire a-mound and to-heap
κείρασθαί τε κόμην, ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε
to-shear and hair since not me longer a-second-time so
ἵξετ' ἄχος κραδίην, ὄφρα ζωοῖσι μετείω.
will-come grief to-heart while among-the-living I-am
ἀλλ' ἤτοι νῦν μὲν στυγερῇ πειθώμεθα δαιτί·
but truly now indeed hateful let-us-obey feast
ἠῶθεν δ' ὄτρυνε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
at-dawn and urged lord of-men Agamemnon
ὕλην τ' ἀξέμεναι παρά τε σχεῖν ὅσσ' ἐπιεικὲς
wood both to-bring beside and to-furnish as-much-as fitting
νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα,
dead having to-go under gloom murky
ὄφρ' ἤτοι τοῦτον μὲν ἐπιφλέγῃ ἀκάματον πῦρ
that truly this-man indeed may-burn-up tireless fire
θᾶσσον ἀπ' ὀφθαλμῶν, λαοὶ δ' ἐπὶ ἔργα τράπωνται."
sooner from eyes the-people and to tasks may-turn

Ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο.
So he-spoke they and then him very indeed heard and obeyed
ἐσσυμένως δ' ἄρα δόρπον ἐφοπλίσσαντες ἕκαστοι
eagerly and then supper having-made-ready each
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
feasted nor at-all heart lacked of-feast equal
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-had-put
οἱ μὲν κακκείοντες ἔβαν κλισίηνδε ἕκαστος,
they indeed to-lie-down went to-the-hut each
Πηλεΐδης δ' ἐπὶ θινὶ πολυφλοίσβοιο θαλάσσης
the-son-of-Peleus and on the-shore of-loud-roaring sea
κεῖτο βαρὺ στενάχων, πολέσιν μετὰ Μυρμιδόνεσσιν
lay heavily groaning many among Myrmidons
ἐν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠϊόνος κλύζεσκον·
in clear-place where waves on beach washed
εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ,
when him sleep seized loosing the-cares of-heart
νήδυμος ἀμφιχυθείς — μάλα γὰρ κάμε φαίδιμα γυῖα
sweet poured-around very for wearied glorious limbs
Ἕκτορ' ἐπαΐσσων προτὶ Ἴλιον ἠνεμόεσσαν —
Hector rushing-after toward Ilium windy
ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο,
came and to(-him) the-soul of-Patroclus wretched
πάντ' αὐτῷ μέγεθός τε καὶ ὄμματα κάλ' ἐϊκυῖα,
in-all to-him size both and eyes fair like
καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο·
and voice and such about flesh garments wore
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
stood and then above head and him to word spoke

"εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ.
you-sleep but me forgetting are Achilles
οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος·
not indeed me living you-neglected but dead
θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω.
bury me as quickly-as-possible the-gates of-Hades I-may-pass
τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων,
far me keep the-souls phantoms of-the-worn-out
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν,
nor me yet to-mingle beyond the-river allow
ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ.
but idly I-wander through wide-gated of-Hades house
καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτις
and to-me grant the hand I-lament not for longer again
νίσομαι ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
I-shall-return from Hades when me of-fire you-have-given-share
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
not indeed for living indeed from-dear apart comrades
βουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ' ἐμὲ μὲν κὴρ
counsels sitting we-shall-plan but me indeed doom
ἀμφέχανε στυγερή, ἥ περ λάχε γιγνόμενόν περ·
gaped-around hateful which indeed was-my-lot being-born indeed
καὶ δὲ σοὶ αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
and also to-you yourself fate to-the-gods like Achilles
τείχει ὕπο Τρώων εὐηφενέων ἀπολέσθαι.
wall under of-the-Trojans wealthy to-perish
ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴ κε πίθηαι·
other and to-you I-will-say and will-enjoin if — you-obey
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ,
not my from-yours apart to-lay bones Achilles

ἀλλ᾽ ὁμοῦ, ὡς τράφομέν περ ἐν ὑμετέροισι δόμοισιν,
but together as we-were-reared indeed in your house
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
when me little being Menoetius from Opoeis
ἤγαγεν ὑμέτερόνδ᾽ ἀνδροκτασίης ὕπο λυγρῆς,
brought to-your-home homicide because-of baneful
ἤματι τῷ ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
on-day that when the-child I-killed of-Amphidamas
νήπιος, οὐκ ἐθέλων, ἀμφ᾽ ἀστραγάλοισι χολωθείς·
foolish not willing over knucklebones angered
ἔνθα με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς
there me having-received in house horseman Peleus
ἔτραφέ τ᾽ ἐνδυκέως καὶ σὸν θεράποντ᾽ ὀνόμηνεν·
reared and kindly and your attendant named
ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι
so and also the-bones of-us-two one urn may-enfold
χρύσεος ἀμφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ.”
golden two-handled-jar which to-you gave queenly mother
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Him and answering addressed in-feet swift Achilles
“τίπτε μοι, ἠθείη κεφαλή, δεῦρ᾽ εἰλήλουθας,
why to-me dear head hither have-you-come
καί μοι ταῦτα ἕκαστ᾽ ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι
and to-me these-things each enjoin but I you-know
πάντα μάλ᾽ ἐκτελέω καὶ πείσομαι ὡς σὺ κελεύεις.
all very will-accomplish and will-obey as you bid
ἀλλά μοι ἆσσον στῆθι· μίννυθά περ ἀμφιβαλόντε
but to-me nearer stand for-a-little though having-embraced
ἀλλήλους ὀλοοῖο τεταρπώμεσθα γόοιο.”
each-other of-baneful let-us-take-our-fill lament

Ὣς ἄρα φωνήσας ὠρέξατο χερσὶ φίλῃσιν
So then having-spoken he-reached with-hands dear
οὐδ' ἔλαβε· ψυχὴ δὲ κατὰ χθονὸς ἠΰτε καπνὸς
nor took the-soul and beneath earth like smoke
ᾤχετο τετριγυῖα· ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺς
went gibbering amazed and sprang-up Achilles
χερσί τε συμπλατάγησεν, ἔπος δ' ὀλοφυδνὸν ἔειπεν·
with-hands and clapped word and mournful spoke
"ὦ πόποι, ἦ ῥά τίς ἐστι καὶ εἰν Ἀΐδαο δόμοισι
oh for-shame truly then some is even in of-Hades the-house
ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν·
a-soul and a-phantom but wits not within at-all
παννυχίη γάρ μοι Πατροκλῆος δειλοῖο
all-night for to-me of-Patroclus wretched
ψυχὴ ἐφεστήκει γοόωσά τε μυρομένη τε,
the-soul stood-over lamenting both weeping and
καί μοι ἕκαστ' ἐπέτελλεν, ἔϊκτο δὲ θέσκελον αὐτῷ."
and to-me each-thing enjoined was-like and wondrously himself

At dawn Meriones leads the men to Ida for wood. The Myrmidons carry Patroclus, and Achilles gives him the lock vowed to the river Spercheius. On the pyre he places sheep, cattle, horses, dogs, and twelve Trojan youths. The pyre will not burn until Achilles prays to the winds, and they blow all night while he mourns.

Ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ᾽ ἵμερον ὦρσε γόοιο·
So he-spoke in-them and all beneath a-longing roused for-lament
μυρομένοισι δὲ τοῖσι φάνη ῥοδοδάκτυλος Ἠὼς
as-they-lamented and to-them appeared rosy-fingered Dawn
ἀμφὶ νέκυν ἐλεεινόν. ἀτὰρ κρείων Ἀγαμέμνων
around the-corpse piteous but lord Agamemnon
οὐρῆάς τ᾽ ὄτρυνε καὶ ἀνέρας ἀξέμεν ὕλην
mules both urged and men to-bring wood
πάντοθεν ἐκ κλισιῶν· ἐπὶ δ᾽ ἀνὴρ ἐσθλὸς ὀρώρει,
from-all-sides from the-huts over-them and a-man good had-arisen
Μηριόνης, θεράπων ἀγαπήνορος Ἰδομενῆος.
Meriones attendant of-courteous Idomeneus
οἱ δ᾽ ἴσαν ὑλοτόμους πελέκεας ἐν χερσὶν ἔχοντες
they and went wood-cutting axes in hands having
σειράς τ᾽ εὐπλέκτους· πρὸ δ᾽ ἄρ᾽ οὐρῆες κίον αὐτῶν.
ropes and well-twisted before and then mules went them
πολλὰ δ᾽ ἄναντα κάταντα πάραντά τε δόχμιά τ᾽ ἦλθον·
much and uphill downhill sideways both slantwise and they-went
ἀλλ᾽ ὅτε δὴ κνημοὺς προσέβαν πολυπίδακος Ἴδης,
but when indeed the-spurs they-approached of-many-fountained Ida

αὐτίκ᾽ ἄρα δρῦς ὑψικόμους ταναήκεϊ χαλκῷ
at-once then oaks high-leafed with-long-edged bronze
τάμνον ἐπειγόμενοι· ταὶ δὲ μεγάλα κτυπέουσαι
cut hastening they and greatly crashing
πῖπτον· τὰς μὲν ἔπειτα διαπλήσσοντες Ἀχαιοὶ
fell them indeed then splitting the-Achaeans
ἔκδεον ἡμιόνων· ταὶ δὲ χθόνα ποσσὶ δατεῦντο
bound-from mules they and the-ground with-feet tore
ἐλδόμεναι πεδίοιο διὰ ῥωπήϊα πυκνά.
longing-for the-plain through thickets dense
πάντες δ᾽ ὑλοτόμοι φιτροὺς φέρον· ὣς γὰρ ἀνώγει
all and wood-cutters logs carried so for bade
Μηριόνης, θεράπων ἀγαπήνορος Ἰδομενῆος.
Meriones attendant of-courteous Idomeneus
κὰδ δ᾽ ἄρ᾽ ἐπ᾽ ἀκτῆς βάλλον ἐπισχερώ, ἔνθ᾽ ἄρ᾽ Ἀχιλλεὺς
down and then on the-shore threw in-a-row where then Achilles
φράσσατο Πατρόκλῳ μέγα ἠρίον ἠδὲ οἷ αὐτῷ.
devised for-Patroclus great mound and for-him himself
Αὐτὰρ ἐπεὶ πάντῃ παρακάββαλον ἄσπετον ὕλην,
But when everywhere they-had-thrown-down boundless wood
ἥατ᾽ ἄρ᾽ αὖθι μένοντες ἀολλέες. αὐτὰρ Ἀχιλλεὺς
they-sat then there waiting all-together but Achilles
αὐτίκα Μυρμιδόνεσσι φιλοπτολέμοισι κέλευσε
at-once the-Myrmidons war-loving bade
χαλκὸν ζώννυσθαι, ζεῦξαι δ᾽ ὑπ᾽ ὄχεσφιν ἕκαστον
bronze to-gird-on to-yoke and under the-chariots each
ἵππους· οἱ δ᾽ ὄρνυντο καὶ ἐν τεύχεσσιν ἔδυνον,
horses they and rose and in armor put-on
ἂν δ᾽ ἔβαν ἐν δίφροισι παραιβάται ἡνίοχοί τε,
up and went in chariots fighters charioteers and

πρόσθε μὲν ἱππῆες, μετὰ δὲ νέφος εἵπετο πεζῶν,
in-front indeed horsemen behind and a-cloud followed of-foot-soldiers
μυρίοι· ἐν δὲ μέσοισι φέρον Πάτροκλον ἑταῖροι.
countless in and the-middle carried Patroclus comrades
θριξὶ δὲ πάντα νέκυν καταείνυσαν, ἃς ἐπέβαλλον
with-hair and all the-corpse they-covered which they-threw-on
κειρόμενοι· ὄπιθεν δὲ κάρη ἔχε δῖος Ἀχιλλεὺς
shearing-themselves behind and the-head held noble Achilles
ἀχνύμενος· ἕταρον γὰρ ἀμύμονα πέμπ' Ἄϊδόσδε.
grieving comrade for blameless he-sent to-Hades
Οἱ δ' ὅτε χῶρον ἵκανον ὅθί σφισι πέφραδ' Ἀχιλλεύς,
They and when the-place reached where to-them had-pointed-out Achilles
κάθεσαν, αἶψα δέ οἱ μενοεικέα νήεον ὕλην.
set(-him)-down quickly and for-him heart-pleasing heaped wood
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς·
then in-turn another-thing thought swift-footed noble Achilles
στὰς ἀπάνευθε πυρῆς ξανθὴν ἀπεκείρατο χαίτην,
standing apart from-the-pyre fair cut-off lock
τήν ῥα Σπερχειῷ ποταμῷ τρέφε τηλεθόωσαν·
which then for-Spercheius river he-grew luxuriant
ὀχθήσας δ' ἄρα εἶπεν ἰδὼν ἐπὶ οἶνοπα πόντον·
vexed and then he-said looking over wine-dark sea
"Σπερχεῖ, ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς,
Spercheius in-vain to-you indeed father prayed Peleus
κεῖσέ με νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν
there me having-returned dear to native land
σοί τε κόμην κερέειν ῥέξειν θ' ἱερὴν ἑκατόμβην,
to-you both hair to-cut to-sacrifice and holy hecatomb

πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλ' ἱερεύσειν
fifty and male-uncut there on-the-spot sheep to-offer
ἐς πηγάς, ὅθι τοι τέμενος βωμός τε θυήεις.
into the-springs where your precinct altar and fragrant
ὣς ἠρᾶθ' ὁ γέρων, σὺ δέ οἱ νόον οὐκ ἐτέλεσσας.
so prayed the old-man you but his purpose not accomplished
νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
now and since not I-return indeed dear to native land
Πατρόκλῳ ἥρωϊ κόμην ὀπάσαιμι φέρεσθαι."
to-Patroclus hero the-hair I-would-give to-carry
Ὣς εἰπὼν ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο
So having-spoken in hands hair of-comrade dear
θῆκεν, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.
placed in-them and all beneath a-longing roused for-lament
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
and now — as-they-mourned had-set the-light of-the-sun
εἰ μὴ Ἀχιλλεὺς αἶψ' Ἀγαμέμνονι εἶπε παραστάς·
if not Achilles quickly to-Agamemnon said standing-beside
"Ἀτρεΐδη, σοὶ γάρ τε μάλιστά γε λαὸς Ἀχαιῶν
son-of-Atreus to-you for — most indeed the-host of-the-Achaeans
πείσονται μύθοισι, γόοιο μὲν ἔστι καὶ ἆσαι,
will-obey with-words of-lament indeed it-is-possible even to-be-sated
νῦν δ' ἀπὸ πυρκαϊῆς σκέδασον καὶ δεῖπνον ἄνωχθι
now and from the-pyre scatter(-them) and supper order
ὅπλεσθαι· τάδε δ' ἀμφὶ πονησόμεθ' οἷσι μάλιστα
to-make-ready these-things and around we-will-labor to-whom most
κήδεός ἐστι νέκυς· παρὰ δ' οἵ τ' ἀγοὶ ἄμμι μενόντων."
dear is the-corpse beside and those — chiefs with-us let-remain

Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
But when this indeed heard lord of-men Agamemnon
αὐτίκα λαὸν μὲν σκέδασεν κατὰ νῆας ἐΐσας,
at-once the-host indeed he-scattered along ships balanced
κηδεμόνες δὲ παρ' αὖθι μένον καὶ νήεον ὕλην,
the-mourners and beside there remained and heaped wood
ποίησαν δὲ πυρὴν ἑκατόμπεδον ἔνθα καὶ ἔνθα,
made and a-pyre a-hundred-feet this-way and that
ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν ἀχνύμενοι κῆρ.
in and pyre topmost the-corpse placed grieving in-heart
πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
many and fat sheep and rolling-gaited crooked-horned cattle
πρόσθε πυρῆς ἔδερόν τε καὶ ἄμφεπον· ἐκ δ' ἄρα πάντων
in-front-of the-pyre flayed both and dressed from and then all
δημὸν ἑλὼν ἐκάλυψε νέκυν μεγάθυμος Ἀχιλλεὺς
fat having-taken covered the-corpse great-hearted Achilles
ἐς πόδας ἐκ κεφαλῆς, περὶ δὲ δρατὰ σώματα νήει.
to feet from head around and flayed bodies heaped
ἐν δ' ἐτίθει μέλιτος καὶ ἀλείφατος ἀμφιφορῆας,
in and he-set of-honey and of-oil two-handled-jars
πρὸς λέχεα κλίνων· πίσυρας δ' ἐριαύχενας ἵππους
against the-bier leaning four and high-necked horses
ἐσσυμένως ἐνέβαλλε πυρῇ μεγάλα στεναχίζων.
eagerly cast-on the-pyre greatly groaning
ἐννέα τῷ γε ἄνακτι τραπεζῆες κύνες ἦσαν,
nine to-him indeed to-the-lord table dogs were
καὶ μὲν τῶν ἐνέβαλλε πυρῇ δύο δειροτομήσας,
and indeed of-them he-cast-on the-pyre two having-cut-the-throats

δώδεκα δὲ Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς
twelve and of-the-Trojans great-hearted sons good
χαλκῷ δηϊόων· κακὰ δὲ φρεσὶ μήδετο ἔργα·
with-bronze slaying evil and in-mind devised deeds
ἐν δὲ πυρὸς μένος ἧκε σιδήρεον, ὄφρα νέμοιτο.
in and of-fire the-might sent iron so-that it-might-feed
ᾤμωξέν τ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
groaned and then thereafter dear and named comrade
"χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀΐδαο δόμοισι·
hail for-me O Patroclus even in of-Hades the-house
πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην.
all for already for-you I-accomplish which before I-promised
δώδεκα μὲν Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς
twelve indeed of-the-Trojans great-hearted sons good
τοὺς ἅμα σοὶ πάντας πῦρ ἐσθίει· Ἕκτορα δ' οὔ τι
them together-with you all fire eats Hector but not at-all
δώσω Πριαμίδην πυρὶ δαπτέμεν, ἀλλὰ κύνεσσιν."
I-will-give the-son-of-Priam to-fire to-devour but to-dogs
Ὣς φάτ' ἀπειλήσας· τὸν δ' οὐ κύνες ἀμφεπένοντο,
So he-spoke threatening him but not dogs busied-around
ἀλλὰ κύνας μὲν ἄλαλκε Διὸς θυγάτηρ Ἀφροδίτη
but dogs indeed warded-off of-Zeus daughter Aphrodite
ἤματα καὶ νύκτας, ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ
days and nights rosy and anointed with-oil
ἀμβροσίῳ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
ambrosial that not him he-might-tear dragging

τῷ δ' ἐπὶ κυάνεον νέφος ἤγαγε Φοῖβος Ἀπόλλων
for-him and over dark cloud brought Phoebus Apollo
οὐρανόθεν πεδίονδε, κάλυψε δὲ χῶρον ἅπαντα
from-heaven to-the-plain covered and place all
ὅσσον ἐπεῖχε νέκυς, μὴ πρὶν μένος ἠελίοιο
as-much-as occupied the-corpse lest before the-might of-the-sun
σκήλει' ἀμφὶ περὶ χρόα ἴνεσιν ἠδὲ μέλεσσιν.
should-wither around about flesh sinews and limbs
Οὐδὲ πυρὴ Πατρόκλου ἐκαίετο τεθνηῶτος·
Nor the-pyre of-Patroclus was-burning dead
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς·
then in-turn another-thing thought swift-footed noble Achilles
στὰς ἀπάνευθε πυρῆς δοιοῖς ἠρᾶτ' ἀνέμοισι,
standing apart from-the-pyre to-two prayed winds
Βορέῃ καὶ Ζεφύρῳ, καὶ ὑπίσχετο ἱερὰ καλά·
to-Boreas and Zephyrus and promised offerings fair
πολλὰ δὲ καὶ σπένδων χρυσέῳ δέπαϊ λιτάνευεν
much and also pouring-libation from-golden cup implored
ἐλθέμεν, ὄφρα τάχιστα πυρὶ φλεγεθοίατο νεκροί,
to-come so-that most-quickly with-fire might-blaze the-dead
ὕλη τε σεύαιτο καήμεναι. ὦκα δὲ Ἶρις
the-wood and might-hasten to-burn quickly and Iris
ἀράων ἀΐουσα μετάγγελος ἦλθ' ἀνέμοισιν.
the-prayers hearing as-messenger went to-the-winds
οἱ μὲν ἄρα Ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον
they indeed then of-Zephyrus ill-blowing gathered within
εἰλαπίνην δαίνυντο· θέουσα δὲ Ἶρις ἐπέστη
a-banquet were-feasting running and Iris stood
βηλῷ ἔπι λιθέῳ· τοὶ δ' ὡς ἴδον ὀφθαλμοῖσι,
threshold on stone they and when saw with-eyes

πάντες ἀνήϊξαν, κάλεόν τέ μιν εἰς ἕ ἕκαστος·
all sprang-up called and her to himself each
ἡ δ' αὖθ' ἕζεσθαι μὲν ἀνήνατο, εἶπε δὲ μῦθον·
she but in-turn to-sit indeed refused said and word
"οὐχ ἕδος· εἶμι γὰρ αὖτις ἐπ' Ὠκεανοῖο ῥέεθρα,
no seat I-go for again to of-Oceanus the-streams
Αἰθιόπων ἐς γαῖαν, ὅθι ῥέζουσ' ἑκατόμβας
of-the-Ethiopians to land where they-sacrifice hecatombs
ἀθανάτοις, ἵνα δὴ καὶ ἐγὼ μεταδαίσομαι ἱρῶν.
to-the-immortals that indeed even I may-share-in the-offerings
ἀλλ' Ἀχιλεὺς Βορέην ἠδὲ Ζέφυρον κελαδεινὸν
but Achilles Boreas and Zephyrus loud-sounding
ἐλθεῖν ἀρᾶται, καὶ ὑπίσχεται ἱερὰ καλά,
to-come prays and promises offerings fair
ὄφρα πυρὴν ὄρσητε καήμεναι, ἣ ἔνι κεῖται
so-that the-pyre you-may-rouse to-burn which in lies
Πάτροκλος, τὸν πάντες ἀναστενάχουσιν Ἀχαιοί."
Patroclus whom all lament the-Achaeans
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπεβήσετο, τοὶ δ' ὀρέοντο
She indeed then so having-spoken went-away they and rose
ἠχῇ θεσπεσίῃ, νέφεα κλονέοντε πάροιθεν.
with-din wondrous the-clouds driving before
αἶψα δὲ πόντον ἵκανον ἀήμεναι, ὦρτο δὲ κῦμα
quickly and the-sea reached to-blow arose and a-wave
πνοιῇ ὕπο λιγυρῇ· Τροίην δ' ἐρίβωλον ἱκέσθην,
blast under shrill Troy and deep-soiled they-reached
ἐν δὲ πυρὴ πεσέτην, μέγα δ' ἴαχε θεσπιδαὲς πῦρ.
in and the-pyre fell greatly and roared wondrous fire
παννύχιοι δ' ἄρα τοί γε πυρῆς ἄμυδις φλόγ' ἔβαλλον,
all-night and then they indeed of-the-pyre together the-flame struck

φυσῶντες λιγέως· ὁ δὲ πάννυχος ὠκὺς Ἀχιλλεὺς
blowing shrilly he and all-night swift Achilles
χρυσέου ἐκ κρητῆρος, ἑλὼν δέπας ἀμφικύπελλον,
golden from mixing-bowl having-taken a-cup double-handled
οἶνον ἀφυσσόμενος χαμάδις χέε, δεῦε δὲ γαῖαν
wine drawing on-the-ground poured wetted and the-earth
ψυχὴν κικλήσκων Πατροκλῆος δειλοῖο.
the-soul calling of-Patroclus wretched
ὡς δὲ πατὴρ οὗ παιδὸς ὀδύρεται ὀστέα καίων,
as and a-father of-his son mourns bones burning
νυμφίου, ὅς τε θανὼν δειλοὺς ἀκάχησε τοκῆας,
a-bridegroom who — dying wretched grieved parents
ὣς Ἀχιλεὺς ἑτάροιο ὀδύρετο ὀστέα καίων,
so Achilles of-comrade mourned bones burning
ἑρπύζων παρὰ πυρκαϊήν, ἀδινὰ στεναχίζων.
creeping beside the-pyre vehemently groaning

XXIII.3 · THE PRIZES SET OUT

At dawn the pyre dies down. Achilles has it quenched with wine and Patroclus' bones gathered into a golden bowl; the mound is to be modest. Then he sets out prizes for the chariot race. He will not compete, since his immortal horses mourn their charioteer.

Ἦμος δ' ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν,
When and the-morning-star goes light announcing over the-earth
ὅν τε μέτα κροκόπεπλος ὑπείρ ἅλα κίδναται ἠώς,
which — after saffron-robed over sea spreads dawn
τῆμος πυρκαϊὴ ἐμαραίνετο, παύσατο δὲ φλόξ.
then the-pyre was-dying-down ceased and the-flame

οἱ δ' ἄνεμοι πάλιν αὖτις ἔβαν οἰκόνδε νέεσθαι
they and the-winds back again went homeward to-return
Θρηΐκιον κατὰ πόντον· ὁ δ' ἔστενεν οἴδματι θύων.
Thracian over sea it and groaned with-swell raging
Πηλεΐδης δ' ἀπὸ πυρκαϊῆς ἑτέρωσε λιασθεὶς
the-son-of-Peleus and from the-pyre aside having-withdrawn
κλίνθη κεκμηώς, ἐπὶ δὲ γλυκὺς ὕπνος ὄρουσεν·
lay-down wearied upon(-him) and sweet sleep leapt
οἱ δ' ἀμφ' Ἀτρεΐωνα ἀολλέες ἠγερέθοντο·
they and around the-son-of-Atreus all-together gathered
τῶν μιν ἐπερχομένων ὅμαδος καὶ δοῦπος ἔγειρεν,
of-them him approaching the-din and noise woke
ἕζετο δ' ὀρθωθεὶς καί σφεας πρὸς μῦθον ἔειπεν·
he-sat-up and having-raised-himself and them to word spoke
"Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
son-of-Atreus both and other the-best of-all-the-Achaeans
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσατ' αἴθοπι οἴνῳ
first indeed over the-pyre quench with-gleaming wine
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
all as-much-as held of-fire the-might but then
ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν
the-bones of-Patroclus son-of-Menoetius let-us-gather
εὖ διαγιγνώσκοντες· ἀριφραδέα δὲ τέτυκται·
well distinguishing(-them) clearly-marked and they-are
ἐν μέσσῃ γὰρ ἔκειτο πυρῇ, τοὶ δ' ἄλλοι ἄνευθεν
in middle for he-lay the-pyre they and others apart
ἐσχατιῇ καίοντ' ἐπιμὶξ ἵπποι τε καὶ ἄνδρες.
at-the-edge burned mixed horses both and men

καὶ τὰ μὲν ἐν χρυσέῃ φιάλῃ καὶ δίπλακι δημῷ
and them indeed in golden bowl and double fat
θείομεν, εἰς ὅ κεν αὐτὸς ἐγὼν Ἄϊδι κεύθωμαι.
let-us-place until the-time — myself I in-Hades am-hidden
τύμβον δ᾽ οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα,
a-barrow and not very great I to-labor-at bid
ἀλλ᾽ ἐπιεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοὶ
but fitting such afterward and also it the-Achaeans
εὐρύν θ᾽ ὑψηλόν τε τιθήμεναι, οἵ κεν ἐμεῖο
broad both high and to-make who — me
δεύτεροι ἐν νήεσσι πολυκλήϊσι λίπησθε.᾽᾽
after in ships many-benched are-left
Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἐπίθοντο ποδώκεϊ Πηλεΐωνι.
So he-spoke they and obeyed the-swift-footed son-of-Peleus
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ,
first indeed over the-pyre quenched with-gleaming wine
ὅσσον ἐπὶ φλὸξ ἦλθε, βαθεῖα δὲ κάππεσε τέφρη·
as-far-as over the-flame came deep and fell the-ash
κλαίοντες δ᾽ ἑτάροιο ἐνηέος ὀστέα λευκὰ
weeping and of-comrade gentle the-bones white
ἄλλεγον ἐς χρυσέην φιάλην καὶ δίπλακα δημόν,
they-gathered into golden bowl and double fat
ἐν κλισίῃσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν·
in the-hut and having-placed with-soft linen covered
τορνώσαντο δὲ σῆμα θεμείλιά τε προβάλοντο
marked-out and the-mound foundations and laid
ἀμφὶ πυρήν· εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
around the-pyre at-once and heaped on earth piled

χεύαντες δὲ τὸ σῆμα πάλιν κίον. αὐτὰρ Ἀχιλλεὺς
having-heaped and the mound back went but Achilles
αὐτοῦ λαὸν ἔρυκε καὶ ἵζανεν εὐρὺν ἀγῶνα,
there the-host held and seated-in broad gathering
νηῶν δ' ἔκφερ' ἄεθλα, λέβητάς τε τρίποδάς τε
from-the-ships and brought prizes cauldrons both tripods and
ἵππους θ' ἡμιόνους τε βοῶν τ' ἴφθιμα κάρηνα,
horses both mules and of-oxen and stalwart heads
ἠδὲ γυναῖκας ἐϋζώνους πολιόν τε σίδηρον.
and women well-girdled gray and iron
Ἱππεῦσιν μὲν πρῶτα ποδώκεσιν ἀγλά' ἄεθλα
For-the-charioteers indeed first swift-footed glorious prizes
θῆκε γυναῖκα ἄγεσθαι ἀμύμονα ἔργα ἰδυῖαν
he-set a-woman to-lead-away blameless works skilled-in
καὶ τρίποδ' ὠτώεντα δυωκαιεικοσίμετρον,
and a-tripod eared twenty-two-measure
τῷ πρώτῳ· ἀτὰρ αὖ τῷ δευτέρῳ ἵππον ἔθηκεν
for-the first but in-turn for-the second a-mare he-set
ἑξέτε' ἀδμήτην, βρέφος ἡμίονον κυέουσαν·
six-year-old unbroken a-foal mule bearing
αὐτὰρ τῷ τριτάτῳ ἄπυρον κατέθηκε λέβητα
but for-the third unfired he-set-down a-cauldron
καλόν, τέσσαρα μέτρα κεχανδότα, λευκὸν ἔτ' αὖτως·
fair four measures holding white still just-so
τῷ δὲ τετάρτῳ θῆκε δύω χρυσοῖο τάλαντα,
for-the and fourth he-set two of-gold talents
πέμπτῳ δ' ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε.
for-the-fifth and two-handled bowl unfired he-set
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
he-stood and upright and word among the-Argives spoke

“ Ἀτρεΐδη τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί,
son-of-Atreus both and other well-greaved Achaeans
ἱππῆας τάδ’ ἄεθλα δεδεγμένα κεῖτ’ ἐν ἀγῶνι.
the-horsemen these prizes awaiting lie in the-gathering
εἰ μὲν νῦν ἐπὶ ἄλλῳ ἀεθλεύοιμεν Ἀχαιοί,
if indeed now for another we-contended Achaeans
ἦ τ’ ἂν ἐγὼ τὰ πρῶτα λαβὼν κλισίηνδε φεροίμην. 275
truly — — I the first having-taken hutward would-carry
ἴστε γὰρ ὅσσον ἐμοὶ ἀρετῇ περιβάλλετον ἵπποι·
you-know for how-much my in-excellence surpass horses
ἀθάνατοί τε γάρ εἰσι, Ποσειδάων δὲ πόρ’ αὐτοὺς
immortal both for they-are Poseidon and gave them
πατρὶ ἐμῷ Πηλῆϊ, ὁ δ’ αὖτ’ ἐμοὶ ἐγγυάλιξεν.
to-father my Peleus he and in-turn to-me handed
ἀλλ’ ἤτοι μὲν ἐγὼ μενέω καὶ μώνυχες ἵπποι·
but truly indeed I will-stay and single-hoofed horses
τοίου γὰρ κλέος ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο, 280
such for glory noble they-have-lost of-a-charioteer
ἠπίου, ὅς σφωϊν μάλα πολλάκις ὑγρὸν ἔλαιον
gentle who for-the-two very often liquid oil
χαιτάων κατέχευε, λοέσσας ὕδατι λευκῷ.
on-the-manes poured-down having-washed(-them) with-water bright
τὸν τώ γ’ ἑσταότες πενθείετον, οὔδεϊ δέ σφι
him the-two indeed standing mourn on-the-ground and their
χαῖται ἐρηρέδαται, τὼ δ’ ἕστατον ἀχνυμένω κῆρ.
manes rest the-two and stand grieving in-heart
ἄλλοι δὲ στέλλεσθε κατὰ στρατόν, ὅς τις Ἀχαιῶν 285
others and array-yourselves throughout the-host who any of-the-Achaeans
ἵπποισίν τε πέποιθε καὶ ἅρμασι κολλητοῖσιν.”
in-horses both trusts and chariots well-jointed

Eumelus enters first, then Diomedes with the horses he took from Aeneas, Menelaus with Agamemnon's mare Aethe and his own Podargus, Antilochus, and Meriones. Nestor advises Antilochus that skill wins more than speed, as with a woodcutter or a helmsman, and tells him how to round the turning post, a dry stump between two white stones, keeping close and driving his left horse tight. They draw lots for places, and Achilles sets Phoenix by the post as umpire.

Ὣς φάτο Πηλεΐδης, ταχέες δ' ἱππῆες ἄγερθεν.
So spoke the-son-of-Peleus swift and charioteers gathered
ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Εὔμηλος,
rose much first indeed lord of-men Eumelus
Ἀδμήτου φίλος υἱός, ὃς ἱπποσύνῃ ἐκέκαστο·
of-Admetus dear son who in-horsemanship excelled
τῷ δ' ἐπὶ Τυδεΐδης ὦρτο κρατερὸς Διομήδης,
him and after the-son-of-Tydeus rose mighty Diomedes
ἵππους δὲ Τρῳοὺς ὕπαγε ζυγόν, οὕς ποτ' ἀπηύρα
horses and Trojan led-under the-yoke which once he-took-from
Αἰνείαν, ἀτὰρ αὐτὸν ὑπεξεσάωσεν Ἀπόλλων.
Aeneas but himself rescued Apollo
τῷ δ' ἄρ' ἐπ' Ἀτρεΐδης ὦρτο ξανθὸς Μενέλαος
him and then after the-son-of-Atreus rose fair-haired Menelaus
διογενής, ὑπὸ δὲ ζυγὸν ἤγαγεν ὠκέας ἵππους,
Zeus-born under and the-yoke he-led swift horses
Αἴθην τὴν Ἀγαμεμνονέην τὸν ἑόν τε Πόδαργον·
Aethe the of-Agamemnon the his-own and Podargus
τὴν Ἀγαμέμνονι δῶκ' Ἀγχισιάδης Ἐχέπωλος
her to-Agamemnon gave the-son-of-Anchises Echepolus
δῶρ', ἵνα μή οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν,
as-a-gift that not him he-follow to Ilium windy

ἀλλ᾽ αὐτοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκε
but there might-delight-himself staying great for to-him had-given
Ζεὺς ἄφενος, ναῖεν δ᾽ ὅ γ᾽ ἐν εὐρυχόρῳ Σικυῶνι·
Zeus wealth dwelt and he indeed in spacious Sicyon
τὴν ὅ γ᾽ ὑπὸ ζυγὸν ἦγε, μέγα δρόμου ἰσχανόωσαν.
her he indeed under the-yoke led greatly of-the-race eager
Ἀντίλοχος δὲ τέταρτος ἐΰτριχας ὁπλίσαθ᾽ ἵππους,
Antilochus and fourth fair-maned harnessed horses
Νέστορος ἀγλαὸς υἱὸς ὑπερθύμοιο ἄνακτος,
of-Nestor glorious son high-spirited lord
τοῦ Νηληϊάδαο· Πυλοιγενέες δέ οἱ ἵπποι
of-the son-of-Neleus Pylos-bred and his horses
ὠκύποδες φέρον ἅρμα· πατὴρ δέ οἱ ἄγχι παραστὰς
swift-footed drew the-chariot the-father and him near standing-beside
μυθεῖτ᾽ εἰς ἀγαθὰ φρονέων νοέοντι καὶ αὐτῷ·
advised to good intending to-him-understanding even himself
“ Ἀντίλοχ᾽, ἤτοι μέν σε νέον περ ἐόντα φίλησαν
Antilochus truly indeed you young though being they-loved
Ζεύς τε Ποσειδάων τε, καὶ ἱπποσύνας ἐδίδαξαν
Zeus both Poseidon and and horsemanship taught
παντοίας· τῶ καί σε διδασκέμεν οὔ τι μάλα χρεώ·
of-every-kind therefore even you to-teach not at-all very need
οἶσθα γὰρ εὖ περὶ τέρμαθ᾽ ἑλισσέμεν· ἀλλά τοι ἵπποι
you-know for well around the-turning-posts to-wheel but you-know the-horses
βάρδιστοι θείειν· τῶ τ᾽ οἴω λοίγι᾽ ἔσεσθαι.
slowest to-run therefore — I-think ruinous-things to-be
τῶν δ᾽ ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοὶ
of-them and horses indeed are swifter nor indeed they-themselves
πλείονα ἴσασιν σέθεν αὐτοῦ μητίσασθαι.
more know than-you yourself to-devise

ἀλλ᾽ ἄγε δὴ σύ, φίλος, μῆτιν ἐμβάλλεο θυμῷ
but come indeed you dear cunning lay-up in-heart
παντοίην, ἵνα μή σε παρεκπροφύγῃσιν ἄεθλα.
of-every-kind so-that not you slip-past the-prizes
μήτι τοι δρυτόμος μέγ᾽ ἀμείνων ἠὲ βίηφι·
by-cunning you-know a-woodcutter much better than by-might
μήτι δ᾽ αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ
by-cunning and again a-helmsman on the-wine-dark sea
νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισι·
ship swift steers buffeted by-winds
μήτι δ᾽ ἡνίοχος περιγίγνεται ἡνιόχοιο.
by-cunning and charioteer surpasses charioteer
ἀλλ᾽ ὃς μέν θ᾽ ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθὼς
but who indeed — in-horses and chariot his-own trusting
ἀφραδέως ἐπὶ πολλὸν ἐλίσσεται ἔνθα καὶ ἔνθα,
heedlessly over much wheels this-way and that
ἵπποι δὲ πλανόωνται ἀνὰ δρόμον, οὐδὲ κατίσχει·
horses and wander over the-course nor he-checks(-them)
ὃς δέ κε κέρδεα εἰδῇ ἐλαύνων ἥσσονας ἵππους,
who but — tricks knows driving worse horses
αἰεὶ τέρμ᾽ ὁρόων στρέφει ἐγγύθεν, οὐδέ ἑ λήθει
always the-post watching turns close nor him escapes
ὅππως τὸ πρῶτον τανύσῃ βοέοισιν ἱμᾶσιν,
how the first he-may-stretch with-oxhide reins
ἀλλ᾽ ἔχει ἀσφαλέως καὶ τὸν προὔχοντα δοκεύει.
but holds(-them) steadily and the one-ahead watches
σῆμα δέ τοι ἐρέω μάλ᾽ ἀριφραδές, οὐδέ σε λήσει.
a-sign and to-you I-will-tell very clear nor you will-escape
ἕστηκε ξύλον αὖον ὅσον τ᾽ ὄργυι᾽ ὑπὲρ αἴης,
stands a-stump dry as-much-as — a-fathom above the-ground

ἢ δρυὸς ἢ πεύκης· τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ,
either of-oak or of-pine it indeed not rots with-rain
λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκὼ
stones and of-it on-either-side are-propped two white
ἐν ξυνοχῇσιν ὁδοῦ, λεῖος δ' ἱππόδρομος ἀμφίς·
at the-joinings of-the-way smooth and the-course around
ἦ τευ σῆμα βροτοῖο πάλαι κατατεθνηῶτος,
either of-some the-mark of-a-mortal long-ago dead
ἢ τό γε νύσσα τέτυκτο ἐπὶ προτέρων ἀνθρώπων,
or it indeed a-turning-post was-made in-the-time-of former men
καὶ νῦν τέρματ' ἔθηκε ποδάρκης δῖος Ἀχιλλεύς.
and now as-turning-post has-set swift-footed noble Achilles
τῷ σὺ μάλ' ἐγχρίμψας ἐλάαν σχεδὸν ἅρμα καὶ ἵππους,
to-it you very coming-close drive near chariot and horses
αὐτὸς δὲ κλινθῆναι ἐϋπλέκτῳ ἐνὶ δίφρῳ
yourself and lean well-woven in chariot
ἦκ' ἐπ' ἀριστερὰ τοῖιν· ἀτὰρ τὸν δεξιὸν ἵππον
slightly to left of-the-two but the right horse
κένσαι ὁμοκλήσας, εἶξαί τέ οἱ ἡνία χερσίν.
goad calling-to-him give and to-him the-reins with-hands
ἐν νύσσῃ δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
at the-post and you-know the-horse left let-come-close
ὡς ἄν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι
so-that — to-you the-nave indeed may-seem the-edge to-reach
κύκλου ποιητοῖο· λίθου δ' ἀλέασθαι ἐπαυρεῖν,
of-the-wheel well-made the-stone but avoid to-touch
μή πως ἵππους τε τρώσῃς κατά θ' ἅρματα ἄξῃς·
lest somehow horses both you-wound down and the-chariot break

χάρμα δὲ τοῖς ἄλλοισιν, ἐλεγχείη δὲ σοὶ αὐτῷ
a-joy and to-the others reproach and to-you yourself
ἔσσεται· ἀλλά, φίλος, φρονέων πεφυλαγμένος εἶναι.
will-be but dear(-son) minding on-guard be
εἰ γάρ κ' ἐν νύσσῃ γε παρεξελάσῃσθα διώκων,
if for — at the-post indeed you-drive-past pursuing
345 οὐκ ἔσθ' ὅς κέ σ' ἔλῃσι μετάλμενος οὐδὲ παρέλθῃ,
not is-there who — you might-catch springing-after nor pass
οὐδ' εἴ κεν μετόπισθεν Ἀρίονα δῖον ἐλαύνοι,
not-even if — behind Arion noble he-were-to-drive
Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν,
of-Adrastus swift horse who from the-gods by-race was
ἢ τοὺς Λαομέδοντος, οἳ ἐνθάδε γ' ἔτραφεν ἐσθλοί."
or those of-Laomedon who here indeed were-reared good
Ὣς εἰπὼν Νέστωρ Νηλήϊος ἂψ ἐνὶ χώρῃ
So having-spoken Nestor son-of-Neleus back in place
350 ἕζετ', ἐπεὶ ὦ παιδὶ ἑκάστου πείρατ' ἔειπε.
sat when to-his son of-each the-limits he-had-told
Μηριόνης δ' ἄρα πέμπτος ἐΰτριχας ὠπλίσαθ' ἵππους.
Meriones and then fifth fair-maned harnessed horses
ἂν δ' ἔβαν ἐς δίφρους, ἐν δὲ κλήρους ἐβάλοντο·
up and they-went into chariots in and lots they-cast
πάλλ' Ἀχιλεύς, ἐκ δὲ κλῆρος θόρε Νεστορίδαο
shook Achilles out and lot leapt of-the-son-of-Nestor
Ἀντιλόχου· μετὰ τὸν δὲ λάχε κρείων Εὔμηλος·
Antilochus after him and drew-the-lot lord Eumelus
355 τῷ δ' ἄρ' ἐπ' Ἀτρεΐδης, δουρικλειτὸς Μενέλαος,
him and then after the-son-of-Atreus spear-famed Menelaus

τῷ δ' ἐπὶ Μηριόνης λάχ' ἐλαυνέμεν· ὕστατος αὖτε
him and after Meriones drew to-drive last again
Τυδεΐδης ὄχ' ἄριστος ἐὼν λάχ' ἐλαυνέμεν ἵππους.
the-son-of-Tydeus by-far best being drew to-drive the-horses
στὰν δὲ μεταστοιχί, σήμηνε δὲ τέρματ' Ἀχιλλεὺς
they-stood and in-a-row showed and the-turning-post Achilles
τηλόθεν ἐν λείῳ πεδίῳ· παρὰ δὲ σκοπὸν εἷσεν
far-off in smooth plain beside and an-umpire he-set
ἀντίθεον Φοίνικα, ὀπάονα πατρὸς ἑοῖο, 360
godlike Phoenix attendant of-father his
ὡς μεμνέῳτο δρόμους καὶ ἀληθείην ἀποείποι.
that he-might-mark the-running and the-truth declare

XXIII.5 · THE CHARIOT RACE

Eumelus leads, with Diomedes close behind, until Apollo knocks Diomedes' whip from his hand; Athena gives it back and breaks Eumelus' yoke, so that he is thrown and Diomedes passes. Antilochus urges his horses on after Menelaus, threatening them, and at a narrow place in the road, where the rain has broken the ground, he forces past him. Menelaus pulls up to avoid a crash, shouts that Antilochus will not win the prize without an oath, and urges his own horses after him.

Οἱ δ' ἅμα πάντες ἐφ' ἵπποιιν μάστιγας ἄειραν,
They and together all over the-two-horses whips raised
πέπληγόν θ' ἱμᾶσιν, ὁμόκλησάν τ' ἐπέεσσιν
struck and with-the-reins called-to and with-words
ἐσσυμένως· οἱ δ' ὦκα διέπρησσον πεδίοιο
eagerly they and quickly sped-over the-plain
νόσφι νεῶν ταχέως· ὑπὸ δὲ στέρνοισι κονίη
far-from the-ships swiftly under and chests the-dust
ἵστατ' ἀειρομένη ὥς τε νέφος ἠὲ θύελλα,
stood rising like — a-cloud or a-whirlwind
χαῖται δ' ἐρρώοντο μετὰ πνοιῇς ἀνέμοιο.
the-manes and streamed with the-blasts of-the-wind
ἅρματα δ' ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ,
the-chariots and at-one-time indeed the-earth touched much-nourishing
ἄλλοτε δ' αἰξασκε μετήορα· τοὶ δ' ἐλατῆρες
at-another and bounded aloft they and the-drivers
ἕστασαν ἐν δίφροισι, πάτασσε δὲ θυμὸς ἑκάστου
stood in the-chariots beat and the-heart of-each
νίκης ἱεμένων· κέκλοντο δὲ οἷσιν ἕκαστος
for-victory striving called and to-his-own each
ἵπποις, οἱ δὲ πέτοντο κονίοντες πεδίοιο.
horses they and flew raising-dust over-the-plain
Ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον ὠκέες ἵπποι
But when indeed the-last finished course the-swift horses
ἂψ ἐφ' ἁλὸς πολιῆς, τότε δὴ ἀρετή γε ἑκάστου
back toward sea gray then indeed the-excellence indeed of-each
φαίνετ', ἄφαρ δ' ἵπποισι τάθη δρόμος· ὦκα δ' ἔπειτα
showed at-once and for-the-horses was-stretched the-pace quickly and then
αἱ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι.
the of-the-son-of-Pheres swift-footed bore-out mares

τὰς δὲ μετ' ἐξέφερον Διομήδεος ἄρσενες ἵπποι,
them and after bore-out of-Diomedes stallions horses
Τρώϊοι, οὐδέ τι πολλὸν ἄνευθ' ἔσαν, ἀλλὰ μάλ' ἐγγύς·
Trojan nor at-all much apart were but very near
αἰεὶ γὰρ δίφρου ἐπιβησομένοισιν ἔϊκτην,
always for the-chariot about-to-mount they-seemed
πνοιῇ δ' Εὐμήλοιο μετάφρενον εὐρέε τ' ὦμω
with-breath and of-Eumelus back broad and shoulders
θέρμετ'· ἐπ' αὐτῷ γὰρ κεφαλὰς καταθέντε πετέσθην.
grew-warm on him for heads laying flew
καί νύ κεν ἢ παρέλασσ' ἢ ἀμφήριστον ἔθηκεν,
and now — either he-had-passed or doubtful had-made(-it)
εἰ μὴ Τυδέος υἱῖ κοτέσσατο Φοῖβος Ἀπόλλων,
if not of-Tydeus with-the-son was-angry Phoebus Apollo
ὅς ῥά οἱ ἐκ χειρῶν ἔβαλεν μάστιγα φαεινήν.
who then his from hands struck whip shining
τοῖο δ' ἀπ' ὀφθαλμῶν χύτο δάκρυα χωομένοιο,
of-him and from eyes poured tears as-he-raged
οὕνεκα τὰς μὲν ὅρα ἔτι καὶ πολὺ μᾶλλον ἰούσας,
because them indeed he-saw still even much more going
οἱ δέ οἱ ἐβλάφθησαν ἄνευ κέντροιο θέοντες.
they and his were-hindered without goad running
οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λάθ' Ἀπόλλων
nor then Athena cheating escaped-the-notice-of Apollo
Τυδεΐδην, μάλα δ' ὦκα μετέσσυτο ποιμένα λαῶν,
the-son-of-Tydeus very and quickly rushed-after shepherd of-the-people
δῶκε δέ οἱ μάστιγα, μένος δ' ἵπποισιν ἐνῆκεν·
gave and him the-whip strength and into-the-horses sent
ἡ δὲ μετ' Ἀδμήτου υἱὸν κοτέουσα βεβήκει,
she and after of-Admetus the-son in-anger went

ἵππειον δέ οἱ ἦξε θεὰ ζυγόν· αἱ δέ οἱ ἵπποι
of-horses and his broke the-goddess yoke they and his mares
ἀμφὶς ὁδοῦ δραμέτην, ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλύσθη.
apart of-the-way ran the-pole and to the-ground slid
αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη,
himself and from the-chariot beside the-wheel was-rolled-out
ἀγκῶνάς τε περιδρύφθη στόμα τε ῥῖνάς τε,
the-elbows both stripped-around mouth and nostrils and
θρυλίχθη δὲ μέτωπον ἐπ' ὀφρύσι· τὼ δέ οἱ ὄσσε
was-bruised and the-forehead at the-brows the-two and his eyes
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
with-tears were-filled lusty and his was-checked voice
Τυδείδης δὲ παρατρέψας ἔχε μώνυχας ἵππους,
the-son-of-Tydeus and turning-aside drove the-single-hoofed horses
πολλὸν τῶν ἄλλων ἐξάλμενος· ἐν γὰρ Ἀθήνη
far the others leaping-ahead in for Athena
ἵπποις ἧκε μένος καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκε.
into-the-horses sent strength and on him glory set
τῷ δ' ἄρ' ἐπ' Ἀτρεΐδης εἶχε ξανθὸς Μενέλαος.
him and then after the-son-of-Atreus drove fair-haired Menelaus
Ἀντίλοχος δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·
Antilochus and to-the-horses called of-father his
"ἔμβητον καὶ σφῶϊ· τιταίνετον ὅττι τάχιστα.
go-in also you-two stretch-out as quickly-as-possible
ἤτοι μὲν κείνοισιν ἐριζέμεν οὔ τι κελεύω,
truly indeed with-those to-strive not at-all I-bid
Τυδείδεω ἵπποισι δαΐφρονος, οἷσιν Ἀθήνη
of-the-son-of-Tydeus the-horses wise which Athena
νῦν ὤρεξε τάχος καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκεν·
now granted speed and on him glory set

ἵππους δ᾽ Ἀτρεΐδαο κιχάνετε, μηδὲ λίπησθον,
the-horses but of-the-son-of-Atreus overtake nor be-left
καρπαλίμως, μὴ σφῶϊν ἐλεγχείην καταχεύῃ
swiftly lest on-you-two reproach pour
Αἴθη θῆλυς ἐοῦσα· τίη λείπεσθε, φέριστοι;
Aethe female being why are-you-left-behind best-ones
ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
thus for I-will-declare and surely accomplished it-will-be
οὐ σφῶϊν κομιδὴ παρὰ Νέστορι ποιμένι λαῶν
not for-you-two care beside Nestor shepherd of-the-people
ἔσσεται, αὐτίκα δ᾽ ὔμμε κατακτενεῖ ὀξέϊ χαλκῷ,
will-be at-once and you he-will-kill with-sharp bronze
αἴ κ᾽ ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον.
if — slackening we-carry-off worse prize
ἀλλ᾽ ἐφομαρτεῖτον καὶ σπεύδετον ὅττι τάχιστα·
but follow-close and hasten as quickly-as-possible
ταῦτα δ᾽ ἐγὼν αὐτὸς τεχνήσομαι ἠδὲ νοήσω,
this and I myself will-contrive and will-devise
στεινωπῷ ἐν ὁδῷ παραδύμεναι, οὐδέ με λήσει.᾽᾽
narrow in way to-slip-past nor me will-it-escape
Ὣς ἔφαθ᾽, οἱ δὲ ἄνακτος ὑποδείσαντες ὁμοκλὴν
So he-spoke they and of-their-lord fearing the-rebuke
μᾶλλον ἐπιδραμέτην ὀλίγον χρόνον· αἶψα δ᾽ ἔπειτα
more ran for-a-little time quickly and then
στεῖνος ὁδοῦ κοίλης ἴδεν Ἀντίλοχος μενεχάρμης.
a-narrow of-the-way hollow saw Antilochus steadfast-in-battle
ῥωχμὸς ἔην γαίης, ἦ χειμέριον ἀλὲν ὕδωρ
a-break was of-the-ground where wintry gathered water
ἐξέρρηξεν ὁδοῖο, βάθυνε δὲ χῶρον ἅπαντα·
broke-away of-the-way hollowed and place all

τῇ ῥ' εἶχεν Μενέλαος ἁματροχιὰς ἀλεείνων.
there then drove Menelaus collision avoiding
Ἀντίλοχος δὲ παρατρέψας ἔχε μώνυχας ἵππους
Antilochus and turning-aside drove the-single-hoofed horses
ἐκτὸς ὁδοῦ, ὀλίγον δὲ παρακλίνας ἐδίωκεν.
outside the-way little and swerving pursued
Ἀτρεΐδης δ' ἔδεισε καὶ Ἀντιλόχῳ ἐγεγώνει·
the-son-of-Atreus and feared and to-Antilochus shouted
" Ἀντίλοχ', ἀφραδέως ἱππάζεαι· ἀλλ' ἄνεχ' ἵππους·
Antilochus recklessly you-drive but hold-back the-horses
στεινωπὸς γὰρ ὁδός, τάχα δ' εὐρυτέρη παρελάσσαι·
narrow for the-way soon and wider to-pass
μή πως ἀμφοτέρους δηλήσεαι ἅρματι κύρσας."
lest somehow both you-harm with-chariot having-collided
Ὣς ἔφατ', Ἀντίλοχος δ' ἔτι καὶ πολὺ μᾶλλον ἔλαυνε
So he-spoke Antilochus and still even much more drove
κέντρῳ ἐπισπέρχων, ὡς οὐκ ἀΐοντι ἐοικώς.
with-goad urging-on as not hearing like
ὅσσα δὲ δίσκου οὖρα κατωμαδίοιο πέλονται,
as-far and of-a-discus the-range swung-from-the-shoulder are
ὅν τ' αἰζηὸς ἀφῆκεν ἀνὴρ πειρώμενος ἥβης,
which — a-vigorous threw man testing youth
τόσσον ἐπιδραμέτην· αἱ δ' ἠρώησαν ὀπίσσω
so-far ran-on they and fell-back behind
Ἀτρεΐδεω· αὐτὸς γὰρ ἑκὼν μεθέηκεν ἐλαύνειν,
of-the-son-of-Atreus himself for willingly gave-up to-drive
μή πως συγκύρσειαν ὁδῷ ἔνι μώνυχες ἵπποι,
lest somehow should-collide way in single-hoofed horses

δίφρους τ' ἀνστρέψειαν ἐϋπλεκέας, κατὰ δ' αὐτοὶ
chariots and overturn well-woven down and themselves
ἐν κονίῃσι πέσοιεν ἐπειγόμενοι περὶ νίκης.
in dust fall hastening for victory
τὸν καὶ νεικείων προσέφη ξανθὸς Μενέλαος·
him also reviling addressed fair-haired Menelaus
"Ἀντίλοχ', οὔ τις σεῖο βροτῶν ὀλοώτερος ἄλλος·
Antilochus not any than-you of-mortals more-baneful other
ἔρρ', ἐπεὶ οὔ σ' ἔτυμόν γε φάμεν πεπνῦσθαι Ἀχαιοί. 440
begone since not you truly indeed said to-be-wise the-Achaeans
ἀλλ' οὐ μὰν οὐδ' ὣς ἄτερ ὅρκου οἴσῃ ἆεθλον."
but not surely not-even so without oath will-you-carry-off the-prize
Ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο φώνησέν τε·
So having-spoken to-the-horses he-called spoke and
"μή μοι ἐρύκεσθον μηδ' ἔστατον ἀχνυμένω κῆρ.
not for-me hold-back nor stand grieving in-heart
φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα
will-be-sooner for-these the-feet and knees growing-weary
ἢ ὑμῖν· ἄμφω γὰρ ἀτέμβονται νεότητος." 445
than for-you both for are-lacking of-youth
Ὣς ἔφαθ', οἱ δὲ ἄνακτος ὑποδείσαντες ὁμοκλὴν
So he-spoke they and of-their-lord fearing the-rebuke
μᾶλλον ἐπιδραμέτην, τάχα δέ σφισιν ἄγχι γένοντο.
more ran-on soon and to-them near they-came

Idomeneus, watching from a height, thinks he sees Diomedes in the lead, and Ajax son of Oileus scorns him. Idomeneus offers to wager a tripod or a cauldron, with Agamemnon as judge, until Achilles stops the quarrel. Diomedes comes in first, and Sthenelus takes the prize. Antilochus comes second, by trickery, with Menelaus close behind him; Meriones is fourth, and Eumelus comes last, dragging his chariot and driving his horses before him.

Ἀργεῖοι δ' ἐν ἀγῶνι καθήμενοι εἰσορόωντο
the-Argives and in the-gathering sitting watched
ἵππους· τοὶ δὲ πέτοντο κονίοντες πεδίοιο.
the-horses they and flew raising-dust over-the-plain
πρῶτος δ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἐφράσαθ' ἵππους·
first and Idomeneus of-the-Cretans leader noticed the-horses
ἧστο γὰρ ἐκτὸς ἀγῶνος ὑπέρτατος ἐν περιωπῇ·
he-sat for outside the-gathering highest in a-lookout
τοῖο δ' ἄνευθεν ἐόντος ὁμοκλητῆρος ἀκούσας
him and far-off being calling-out having-heard
ἔγνω, φράσσατο δ' ἵππον ἀριπρεπέα προὔχοντα,
he-knew noticed and a-horse conspicuous in-the-lead
ὃς τὸ μὲν ἄλλο τόσον φοίνιξ ἦν, ἐν δὲ μετώπῳ
which the indeed rest so-much bay was in and the-forehead
λευκὸν σῆμα τέτυκτο περίτροχον ἠΰτε μήνη.
white mark was-made round like the-moon
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
he-stood and upright and word among the-Argives spoke
"ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
O friends of-the-Argives leaders and rulers
οἷος ἐγὼν ἵππους αὐγάζομαι ἦε καὶ ὑμεῖς;
alone I the-horses discern or also you

ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι,
other to-me seem in-front to-be horses
ἄλλος δ' ἡνίοχος ἰνδάλλεται· αἱ δέ που αὐτοῦ
other and the-charioteer appears they and somewhere there
ἔβλαβεν ἐν πεδίῳ, αἳ κεῖσέ γε φέρτεραι ἦσαν·
came-to-harm in the-plain who thither indeed better were
ἤτοι γὰρ τὰς πρῶτα ἴδον περὶ τέρμα βαλούσας,
truly for them first I-saw around the-post turning
νῦν δ' οὔ πῃ δύναμαι ἰδέειν, πάντῃ δέ μοι ὄσσε
now but not anywhere I-can see everywhere and my eyes
Τρωϊκὸν ἂμ πεδίον παπταίνετον εἰσορόωντι·
Trojan over plain search as-I-look
ἠὲ τὸν ἡνίοχον φύγον ἡνία, οὐδὲ δυνάσθη
or the charioteer escaped the-reins nor could
εὖ σχεθέειν περὶ τέρμα, καὶ οὐκ ἐτύχησεν ἑλίξας·
well to-hold around the-post and not succeeded wheeling
ἔνθα μιν ἐκπεσέειν ὀΐω σύν θ' ἅρματα ἆξαι,
there him to-have-fallen-out I-think with and the-chariot to-have-broken
αἱ δ' ἐξηρώησαν, ἐπεὶ μένος ἔλλαβε θυμόν.
they and swerved-away when fury seized heart
ἀλλὰ ἴδεσθε καὶ ὔμμες ἀνασταδόν· οὐ γὰρ ἔγωγε
but look also you standing-up not for I-indeed
εὖ διαγιγνώσκω· δοκέει δέ μοι ἔμμεναι ἀνὴρ
well distinguish seems and to-me to-be the-man
Αἰτωλὸς γενεήν, μετὰ δ' Ἀργείοισιν ἀνάσσει,
Aetolian by-birth among and the-Argives rules
Τυδέος ἱπποδάμου υἱός, κρατερὸς Διομήδης."
of-Tydeus horse-taming son mighty Diomedes

Τὸν δ' αἰσχρῶς ἐνένιπεν Ὀϊλῆος ταχὺς Αἴας·
Him and shamefully rebuked of-Oïleus swift Ajax
"Ἰδομενεῦ, τί πάρος λαβρεύεαι; αἰ δ' ἔτ' ἄνευθεν
Idomeneus why beforehand do-you-blurt they and still far-off
ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται.
horses high-stepping over-the-wide plain speed
οὔτε νεώτατός ἐσσι μετ' Ἀργείοισι τοσοῦτον,
neither youngest are-you among the-Argives so
οὔτε τοι ὀξύτατον κεφαλῆς ἐκ δέρκεται ὄσσε·
nor your sharpest from-head out look eyes
ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι· οὐδέ τί σε χρὴ
but always with-words you-blurt nor at-all you must
λαβραγόρην ἔμεναι· πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι.
a-blusterer to-be are-present for also better others
ἵπποι δ' αὐταὶ ἔασι παροίτεραι, αἳ τὸ πάρος περ,
horses and the-same are in-front which the before indeed
Εὐμήλου, ἐν δ' αὐτὸς ἔχων εὔληρα βέβηκε."
of-Eumelus in and he-himself holding the-reins has-mounted
Τὸν δὲ χολωσάμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
Him and angered of-the-Cretans leader in-reply spoke
"Αἶαν, νεῖκος ἄριστε, κακοφραδές, ἄλλα τε πάντα
Ajax in-quarreling best evil-minded in-other-things and all
δεύεαι Ἀργείων, ὅτι τοι νόος ἐστὶν ἀπηνής.
you-lack of-the-Argives because your mind is harsh
δεῦρό νυν, ἢ τρίποδος περιδώμεθον ἠὲ λέβητος,
hither now either a-tripod let-us-wager or a-cauldron
ἴστορα δ' Ἀτρεΐδην Ἀγαμέμνονα θείομεν ἄμφω,
umpire and the-son-of-Atreus Agamemnon let-us-make both
ὁππότεραι πρόσθ' ἵπποι, ἵνα γνώῃς ἀποτίνων."
which in-front the-horses that you-may-learn paying

Ὣς ἔφατ', ὄρνυτο δ' αὐτίκ' Ὀϊλῆος ταχὺς Αἴας
So he-spoke rose and at-once of-Oïleus swift Ajax
χωόμενος χαλεποῖσιν ἀμείψασθαι ἐπέεσσι·
angered with-harsh to-answer words
καί νύ κε δὴ προτέρω ἔτ' ἔρις γένετ' ἀμφοτέροισιν,
and now — indeed further still strife had-arisen for-both
εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο καὶ φάτο μῦθον·
if not Achilles himself rose and spoke word
"μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ἐπέεσσιν,
no-longer now with-harsh answer words
Αἶαν Ἰδομενεῦ τε, κακοῖς, ἐπεὶ οὐδὲ ἔοικε.
Ajax Idomeneus and with-evil since nor is-it-seemly
καὶ δ' ἄλλῳ νεμεσᾶτον, ὅτις τοιαῦτά γε ῥέζοι.
even and with-another you-are-indignant whoever such-things indeed did
ἀλλ' ὑμεῖς ἐν ἀγῶνι καθήμενοι εἰσοράασθε
but you in the-gathering sitting watch
ἵππους· οἱ δὲ τάχ' αὐτοὶ ἐπειγόμενοι περὶ νίκης
the-horses they and soon themselves hastening for victory
ἐνθάδ' ἐλεύσονται· τότε δὲ γνώσεσθε ἕκαστος
here will-come then and you-will-know each
ἵππους Ἀργείων, οἳ δεύτεροι οἵ τε πάροιθεν."
the-horses of-the-Argives which second which and in-front
Ὣς φάτο, Τυδεΐδης δὲ μάλα σχεδὸν ἦλθε διώκων,
So he-spoke the-son-of-Tydeus and very near came driving
μάστι δ' αἰὲν ἔλαυνε κατωμαδόν· οἱ δέ οἱ ἵπποι
with-whip and always drove from-the-shoulder they and his horses
ὑψόσ' ἀειρέσθην ῥίμφα πρήσσοντε κέλευθον.
high were-lifted lightly accomplishing the-way
αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον,
always and the-charioteer of-dust drops struck

ἅρματα δὲ χρυσῷ πεπυκασμένα κασσιτέρῳ τε
the-chariot and with-gold covered with-tin and
ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον· οὐδέ τι πολλὴ
the-horses swift-footed ran-behind nor at-all much
γίγνετ' ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν
was of-the-tires the-wheel-track behind
ἐν λεπτῇ κονίῃ· τὼ δὲ σπεύδοντε πετέσθην.
in fine dust the-two and hastening flew
στῆ δὲ μέσῳ ἐν ἀγῶνι, πολὺς δ' ἀνεκήκιεν ἱδρὼς
he-stood and middle in the-gathering much and streamed sweat
ἵππων ἔκ τε λόφων καὶ ἀπὸ στέρνοιο χαμᾶζε.
of-the-horses from both necks and from chest to-the-ground
αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος,
himself and from the-chariot to-the-ground leapt all-shining
κλῖνε δ' ἄρα μάστιγα ποτὶ ζυγόν· οὐδὲ μάτησεν
leaned and then the-whip against the-yoke nor was-slow
ἴφθιμος Σθένελος, ἀλλ' ἐσσυμένως λάβ' ἄεθλον,
stalwart Sthenelus but eagerly took the-prize
δῶκε δ' ἄγειν ἑτάροισιν ὑπερθύμοισι γυναῖκα
gave and to-lead to-comrades high-spirited the-woman
καὶ τρίποδ' ὠτώεντα φέρειν· ὁ δ' ἔλυεν ὑφ' ἵππους.
and the-tripod eared to-carry he and loosed from-under the-horses
Τῷ δ' ἄρ' ἐπ' Ἀντίλοχος Νηλήϊος ἤλασεν ἵππους,
Him and then after Antilochus Neleian drove horses
κέρδεσιν, οὔ τι τάχει γε, παραφθάμενος Μενέλαον·
by-tricks not at-all by-speed indeed having-passed Menelaus
ἀλλὰ καὶ ὣς Μενέλαος ἔχ' ἐγγύθεν ὠκέας ἵππους.
but even so Menelaus held near swift horses

ὅσσον δὲ τροχοῦ ἵππος ἀφίσταται, ὅς ῥα ἄνακτα
as-far and from-the-wheel a-horse stands which then its-lord
ἕλκῃσιν πεδίοιο τιταινόμενος σὺν ὄχεσφι·
draws over-the-plain straining with the-chariot
τοῦ μέν τε ψαύουσιν ἐπισσώτρου τρίχες ἄκραι
of-it indeed — touch the-tire hairs tips
οὐραῖαι· ὁ δέ τ' ἄγχι μάλα τρέχει, οὐδέ τι πολλὴ
of-the-tail it and — near very runs nor at-all much
χώρη μεσσηγύς, πολέος πεδίοιο θέοντος·
space between over-the-wide plain as-it-runs
τόσσον δὴ Μενέλαος ἀμύμονος Ἀντιλόχοιο
so-far indeed Menelaus of-blameless Antilochus
λείπετ'· ἀτὰρ τὰ πρῶτα καὶ ἐς δίσκουρα λέλειπτο,
was-left but the first even to a-discus-throw had-been-left
ἀλλά μιν αἶψα κίχανεν· ὀφέλλετο γὰρ μένος ἠΰ
but him quickly overtook was-increased for the-strength good
ἵππου τῆς Ἀγαμεμνονέης, καλλίτριχος Αἴθης·
of-the-mare the of-Agamemnon fair-maned Aethe
εἰ δέ κ' ἔτι προτέρω γένετο δρόμος ἀμφοτέροισι,
if but — still further had-been the-course for-both
τῷ κέν μιν παρέλασσ' οὐδ' ἀμφήριστον ἔθηκεν.
then — him he-had-passed nor doubtful had-made(-it)
αὐτὰρ Μηριόνης, θεράπων ἐΰς Ἰδομενῆος,
but Meriones attendant good of-Idomeneus
λείπετ' ἀγακλῆος Μενελάου δουρὸς ἐρωήν·
was-left of-glorious Menelaus a-spear's throw
βάρδιστοι μὲν γάρ οἱ ἔσαν καλλίτριχες ἵπποι,
slowest indeed for his were fair-maned horses
ἤκιστος δ' ἦν αὐτὸς ἐλαυνέμεν ἅρμ' ἐν ἀγῶνι.
least-skilled and was himself to-drive chariot in the-contest

υἱὸς δ' Ἀδμήτοιο πανύστατος ἤλυθεν ἄλλων,
the-son and of-Admetus very-last came of-the-others
ἕλκων ἅρματα καλά, ἐλαύνων πρόσσοθεν ἵππους.
dragging chariot fair driving before horses

XXIII.7 · ANTILOCHUS AND MENELAUS

Achilles proposes giving Eumelus second prize, but Antilochus refuses, so Achilles gives Eumelus a corselet. Menelaus accuses Antilochus of cheating; Antilochus yields the mare, and Menelaus gives it back. Achilles gives the unclaimed bowl to Nestor, who recalls his victories at the games for Amarynceus.

τὸν δὲ ἰδὼν ὤκτειρε ποδάρκης δῖος Ἀχιλλεύς,
him and seeing pitied swift-footed noble Achilles
στὰς δ' ἄρ' ἐν Ἀργείοις ἔπεα πτερόεντ' ἀγόρευε·
standing and then among the-Argives words winged spoke
"λοίσθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους·
last the-man best drives the-single-hoofed horses
ἀλλ' ἄγε δή οἱ δῶμεν ἀέθλιον, ὡς ἐπιεικές,
but come indeed to-him let-us-give a-prize as fitting
δεύτερ'· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός."
second but the first let-carry-off of-Tydeus the-son
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνεον ὡς ἐκέλευε.
So he-spoke they and then all approved as he-bade
καί νύ κέ οἱ πόρεν ἵππον, ἐπήνησαν γὰρ Ἀχαιοί,
and now — to-him he-had-given the-mare approved for the-Achaeans
εἰ μὴ ἄρ' Ἀντίλοχος μεγαθύμου Νέστορος υἱὸς
if not then Antilochus of-great-hearted Nestor son
Πηλεΐδην Ἀχιλῆα δίκῃ ἠμείψατ' ἀναστάς·
the-son-of-Peleus Achilles with-justice answered having-stood-up

"ὦ Ἀχιλεῦ, μάλα τοι κεχολώσομαι, αἴ κε τελέσσῃς
O Achilles greatly you-know I-shall-be-angry if — you-accomplish
τοῦτο ἔπος· μέλλεις γὰρ ἀφαιρήσεσθαι ἄεθλον,
this word you-intend for to-take-away the-prize
τὰ φρονέων ὅτι οἱ βλάβεν ἅρματα καὶ ταχέ' ἵππω
this thinking that his were-damaged chariot and swift two-horses
αὐτός τ' ἐσθλὸς ἐών· ἀλλ' ὤφελεν ἀθανάτοισιν
himself and good being but he-should to-the-immortals
εὔχεσθαι· τῶ κ' οὔ τι πανύστατος ἦλθε διώκων.
have-prayed then — not at-all very-last he-had-come driving
εἰ δέ μιν οἰκτίρεις καί τοι φίλος ἔπλετο θυμῷ,
if but him you-pity and to-you dear he-is in-heart
ἔστι τοι ἐν κλισίῃ χρυσὸς πολύς, ἔστι δὲ χαλκὸς
there-is for-you in the-hut gold much there-is and bronze
καὶ πρόβατ', εἰσὶ δέ τοι δμῳαὶ καὶ μώνυχες ἵπποι·
and sheep are and for-you handmaids and single-hoofed horses
τῶν οἱ ἔπειτ' ἀνελὼν δόμεναι καὶ μεῖζον ἄεθλον,
of-these to-him afterward having-taken-up give even greater prize
ἠὲ καὶ αὐτίκα νῦν, ἵνα σ' αἰνήσωσιν Ἀχαιοί.
or even at-once now that you they-may-praise the-Achaeans
τὴν δ' ἐγὼ οὐ δώσω· περὶ δ' αὐτῆς πειρηθήτω
her but I not will-give for and her let-him-make-trial
ἀνδρῶν ὅς κ' ἐθέλῃσιν ἐμοὶ χείρεσσι μάχεσθαι."
of-men who — wishes with-me with-hands to-fight
Ὣς φάτο, μείδησεν δὲ ποδάρκης δῖος Ἀχιλλεὺς
So he-spoke smiled and swift-footed noble Achilles
χαίρων Ἀντιλόχῳ, ὅτι οἱ φίλος ἦεν ἑταῖρος·
rejoicing in-Antilochus because his dear he-was comrade
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
and him answering words winged addressed

“ Ἀντίλοχ’, εἰ μὲν δή με κελεύεις οἴκοθεν ἄλλο
Antilochus if indeed truly me you-bid from-home other
Εὐμήλῳ ἐπιδοῦναι, ἐγὼ δέ κε καὶ τὸ τελέσσω.
to-Eumelus to-give-besides I and — also this will-accomplish
δώσω οἱ θώρηκα, τὸν Ἀστεροπαῖον ἀπηύρων,
I-will-give to-him the-corselet which from-Asteropaeus I-took
χάλκεον, ᾧ πέρι χεῦμα φαεινοῦ κασσιτέροιο
bronze to-which around a-casting of-bright tin
ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιος ἔσται.”
is-whirled-around of-much and to-him worth it-will-be
Ἦ ῥα, καὶ Αὐτομέδοντι φίλῳ ἐκέλευσεν ἑταίρῳ
He-spoke then and Automedon dear he-bade comrade
οἰσέμεναι κλισίηθεν· ὁ δ’ ᾤχετο καί οἱ ἔνεικεν,
to-bring from-the-hut he and went and for-him brought
Εὐμήλῳ δ’ ἐν χερσὶ τίθει· ὁ δὲ δέξατο χαίρων.
to-Eumelus and in hands placed he and received rejoicing
Τοῖσι δὲ καὶ Μενέλαος ἀνίστατο θυμὸν ἀχεύων,
Among-them and also Menelaus rose in-heart grieving
Ἀντιλόχῳ ἄμοτον κεχολωμένος· ἐν δ’ ἄρα κῆρυξ
with-Antilochus insatiably angered in and then the-herald
χειρὶ σκῆπτρον ἔθηκε, σιωπῆσαί τε κέλευσεν
hand the-staff placed to-be-silent and bade
Ἀργείους· ὁ δ’ ἔπειτα μετηύδα ἰσόθεος φώς·
the-Argives he and then spoke godlike man
“ Ἀντίλοχε, πρόσθεν πεπνυμένε, ποῖον ἔρεξας.
Antilochus formerly wise what-sort you-have-done
ἤσχυνας μὲν ἐμὴν ἀρετήν, βλάψας δέ μοι ἵππους,
you-have-shamed indeed my excellence having-hampered and my horses
τοὺς σοὺς πρόσθε βαλών, οἵ τοι πολὺ χείρονες ἦσαν.
the your in-front having-thrust who you-know much worse were

ἀλλ᾽ ἄγετ᾽, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
but come of-the-Argives leaders and rulers
ἐς μέσον ἀμφοτέροισι δικάσσατε, μηδ᾽ ἐπ᾽ ἀρωγῇ,
into the-middle for-both judge nor with favor
μή ποτέ τις εἴπῃσιν Ἀχαιῶν χαλκοχιτώνων·
lest ever someone say of-the-Achaeans bronze-coated
‘Ἀντίλοχον ψεύδεσσι βιησάμενος Μενέλαος
Antilochus by-lies having-overpowered Menelaus
οἴχεται ἵππον ἄγων, ὅτι οἱ πολὺ χείρονες ἦσαν
goes-off the-mare leading because his much worse were
ἵπποι, αὐτὸς δὲ κρείσσων ἀρετῇ τε βίῃ τε.’
horses himself but mightier in-excellence both in-might and
εἰ δ᾽ ἄγ᾽ ἐγὼν αὐτὸς δικάσω, καί μ᾽ οὔ τινά φημι
if and come I myself will-judge and me not any I-say
ἄλλον ἐπιπλήξειν Δαναῶν· ἰθεῖα γὰρ ἔσται.
other will-rebuke of-the-Danaans straight for it-will-be
Ἀντίλοχ᾽, εἰ δ᾽ ἄγε δεῦρο, διοτρεφές, ἦ θέμις ἐστί,
Antilochus if and come hither Zeus-nurtured as right is
στὰς ἵππων προπάροιθε καὶ ἅρματος, αὐτὰρ ἱμάσθλην
standing the-horses in-front-of and the-chariot but the-whip
χερσὶν ἔχε ῥαδινήν, ᾗ περ τὸ πρόσθεν ἔλαυνες,
in-hands holding slender with-which indeed the before you-drove
ἵππων ἁψάμενος γαιήοχον ἐννοσίγαιον
the-horses touching earth-holder earth-shaker
ὄμνυθι μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλῳ ἅρμα πεδῆσαι.”
swear not indeed willingly the my by-guile chariot to-have-hindered

Τὸν δ' αὖτ' Ἀντίλοχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Antilochus wise in-reply spoke
"ἄνσχεο νῦν· πολλὸν γὰρ ἔγωγε νεώτερός εἰμι
bear-with(-me) now much for I-indeed younger am
σεῖο, ἄναξ Μενέλαε, σὺ δὲ πρότερος καὶ ἀρείων.
than-you lord Menelaus you and elder and better
οἶσθ' οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι·
you-know what-sort of-a-young man the-transgressions are
κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις.
quicker indeed for — the-mind slight and — the-cunning
τῶ τοι ἐπιτλήτω κραδίη· ἵππον δέ τοι αὐτὸς
therefore your let-endure heart the-mare and to-you myself
δώσω, τὴν ἀρόμην. εἰ καί νύ κεν οἴκοθεν ἄλλο
I-will-give which I-won if even now — from-home other
μεῖζον ἐπαιτήσειας, ἄφαρ κέ τοι αὐτίκα δοῦναι
greater you-should-ask at-once — to-you immediately to-give
βουλοίμην ἢ σοί γε, διοτρεφές, ἤματα πάντα
I-would-wish than to-you indeed Zeus-nurtured days all
ἐκ θυμοῦ πεσέειν καὶ δαίμοσιν εἶναι ἀλιτρός."
from heart to-fall and to-the-divinities to-be a-sinner
Ἦ ῥα, καὶ ἵππον ἄγων μεγαθύμου Νέστορος υἱὸς
He-spoke then and the-mare leading of-great-hearted Nestor son
ἐν χείρεσσι τίθει Μενελάου· τοῖο δὲ θυμὸς
in hands placed of-Menelaus of-him and the-heart
ἰάνθη ὡς εἴ τε περὶ σταχύεσσιν ἐέρση
was-warmed as if — around ears-of-corn the-dew
ληΐου ἀλδήσκοντος, ὅτε φρίσσουσιν ἄρουραι·
of-the-crop growing when bristle the-fields
ὣς ἄρα σοί, Μενέλαε, μετὰ φρεσὶ θυμὸς ἰάνθη.
so then your Menelaus in mind heart was-warmed

καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
“ Ἀντίλοχε, νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτὸς
Antilochus now indeed you-know I will-yield myself
χωόμενος, ἐπεὶ οὔ τι παρήορος οὐδ’ ἀεσίφρων
angered since not at-all flighty nor light-minded
ἦσθα πάρος· νῦν αὖτε νόον νίκησε νεοίη.
you-were before now again the-mind overcame youth
δεύτερον αὖτ’ ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν. 605
a-second-time again avoid your-betters to-cheat
οὐ γάρ κέν με τάχ’ ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν·
not for — me soon other man had-persuaded of-the-Achaeans
ἀλλὰ σὺ γὰρ δὴ πόλλ’ ἔπαθες καὶ πόλλ’ ἐμόγησας,
but you for indeed many-things you-suffered and many-things toiled
σός τε πατὴρ ἀγαθὸς καὶ ἀδελφεὸς εἵνεκ’ ἐμεῖο·
your both father good and brother for-the-sake-of me
τῷ τοι λισσομένῳ ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον
therefore to-you beseeching I-will-give-in and also the-mare
δώσω ἐμήν περ ἐοῦσαν, ἵνα γνώωσι καὶ οἵδε 610
I-will-give mine though being that may-know also these
ὡς ἐμὸς οὔ ποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.”
that my not ever heart overbearing and harsh
Ἦ ῥα, καὶ Ἀντιλόχοιο Νοήμονι δῶκεν ἑταίρῳ
He-spoke then and of-Antilochus to-Noemon gave comrade
ἵππον ἄγειν· ὁ δ’ ἔπειτα λέβηθ’ ἕλε παμφανόωντα.
the-mare to-lead he and then the-cauldron took all-shining
Μηριόνης δ’ ἀνάειρε δύω χρυσοῖο τάλαντα
Meriones and took-up two of-gold talents
τέτρατος, ὡς ἔλασεν. πέμπτον δ’ ὑπελείπετ’ ἄεθλον, 615
fourth as he-drove the-fifth and was-left prize

ἀμφίθετος φιάλη· τὴν Νέστορι δῶκεν Ἀχιλλεὺς
two-handled bowl it to-Nestor gave Achilles
Ἀργείων ἀν᾽ ἀγῶνα φέρων, καὶ ἔειπε παραστάς·
of-the-Argives through gathering bearing(-it) and said standing-by
"τῆ νῦν, καὶ σοὶ τοῦτο, γέρον, κειμήλιον ἔστω,
take now also to-you this old-man a-treasure let-it-be
Πατρόκλοιο τάφου μνῆμ᾽ ἔμμεναι· οὐ γὰρ ἔτ᾽ αὐτὸν
of-Patroclus burial a-memorial to-be not for any-longer him
620 ὄψῃ ἐν Ἀργείοισι· δίδωμι δέ τοι τόδ᾽ ἄεθλον
will-you-see among the-Argives I-give and to-you this prize
αὔτως· οὐ γὰρ πύξ γε μαχήσεαι, οὐδὲ παλαίσεις,
freely not for with-fist indeed will-you-fight nor wrestle
οὐδ᾽ ἔτ᾽ ἀκοντιστὺν ἐσδύσεαι, οὐδὲ πόδεσσι
nor any-longer the-javelin will-you-enter nor with-feet
θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει."
will-you-run already for harsh upon(-you) old-age presses
Ὣς εἰπὼν ἐν χερσὶ τίθει· ὁ δ᾽ ἐδέξατο χαίρων,
So having-spoken in hands placed he and received rejoicing
625 καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες·
yes indeed these-things indeed all child according-to due you-spoke
οὐ γὰρ ἔτ᾽ ἔμπεδα γυῖα, φίλος, πόδες, οὐδέ τι χεῖρες
not for any-longer firm limbs dear(-one) feet nor at-all the-arms
ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί.
from-the-shoulders on-either-side dart light

εἴθ᾽ ὡς ἡβώοιμι βίη τέ μοι ἔμπεδος εἴη
would-that so I-were-young strength and to-me firm were
ὡς ὁπότε κρείοντ᾽ Ἀμαρυγκέα θάπτον Ἐπειοὶ
as when lord Amarynceus were-burying the-Epeans
Βουπρασίῳ, παῖδες δὲ θέσαν βασιλῆος ἄεθλα·
at-Buprasium sons and set of-the-king prizes
ἔνθ᾽ οὔ τίς μοι ὁμοῖος ἀνὴρ γένετ᾽, οὔτ᾽ ἄρ᾽ Ἐπειῶν
there not any to-me equal man was nor then of-the-Epeans
οὔτ᾽ αὐτῶν Πυλίων οὔτ᾽ Αἰτωλῶν μεγαθύμων.
nor themselves of-the-Pylians nor of-Aetolians great-hearted
πὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Ἤνοπος υἱόν,
with-fist indeed I-conquered Clytomedes of-Enops son
Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη·
Ancaeus and in-wrestling of-Pleuron who against-me stood-up
Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα,
Iphiclus and with-feet I-outran good being
δουρὶ δ᾽ ὑπειρέβαλον Φυλῆά τε καὶ Πολύδωρον.
with-spear and I-outthrew Phyleus both and Polydorus
οἷοισίν μ᾽ ἵπποισι παρήλασαν Ἀκτορίωνε,
alone me with-horses outdrove the-two-sons-of-Actor
πλήθει πρόσθε βαλόντες, ἀγασσάμενοι περὶ νίκης,
by-numbers in-front having-thrust jealous for victory
οὕνεκα δὴ τὰ μέγιστα παρ᾽ αὐτόθι λείπετ᾽ ἄεθλα.
because indeed the greatest there on-the-spot were-left prizes
οἱ δ᾽ ἄρ᾽ ἔσαν δίδυμοι· ὁ μὲν ἔμπεδον ἡνιόχευεν,
they and then were twins he indeed steadily drove
ἔμπεδον ἡνιόχευ᾽, ὁ δ᾽ ἄρα μάστιγι κέλευεν.
steadily drove he and then with-whip urged

ὥς ποτ᾽ ἔον· νῦν αὖτε νεώτεροι ἀντιόωντων
so once I-was now again younger let-meet
ἔργων τοιούτων· ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ
deeds such me but must to-old-age baneful
πείθεσθαι, τότε δ᾽ αὖτε μετέπρεπον ἡρώεσσιν.
to-obey then but again I-was-conspicuous among-heroes
ἀλλ᾽ ἴθι καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερέϊζε.
but go and your comrade with-games honor
τοῦτο δ᾽ ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
this and I readily receive rejoices and my heart
ὥς μευ ἀεὶ μέμνησαι ἐνηέος, οὐδέ σε λήθω
that me always you-remember kindly nor you I-escape
τιμῆς ἧς τέ μ᾽ ἔοικε τετιμῆσθαι μετ᾽ Ἀχαιοῖς.
of-honor with-which — me befits to-be-honored among the-Achaeans
σοὶ δὲ θεοὶ τῶνδ᾽ ἀντὶ χάριν μενοεικέα δοῖεν."
to-you and the-gods these in-return-for grace heart-pleasing grant

XXIII.8 · BOXING AND WRESTLING

For the boxing Achilles sets a mule and a cup. Epeius claims the mule, boasting that no one will beat him with his fists. Only Euryalus rises against him. Diomedes girds him, but Epeius knocks him out, and his comrades carry him off spitting blood. For the wrestling Ajax son of Telamon and Odysseus grapple like rafters of a roof. Odysseus, by a trick, brings Ajax down, but his own lift barely moves Ajax, and both fall. Achilles stops the third bout and calls it a draw.

Ὣς φάτο, Πηλεΐδης δὲ πολὺν καθ᾽ ὅμιλον Ἀχαιῶν
So he-spoke the-son-of-Peleus and great through the-throng of-the-Achaeans
ᾤχετ᾽, ἐπεὶ πάντ᾽ αἶνον ἐπέκλυε Νηλεΐδαο.
went when all the-praise he-had-heard of-the-son-of-Neleus

αὐτὰρ ὁ πυγμαχίης ἀλεγεινῆς θῆκεν ἄεθλα·
but he for-boxing painful set prizes
ἡμίονον ταλαεργὸν ἄγων κατέδησ᾽ ἐν ἀγῶνι
a-mule hard-working leading he-tied-down in the-gathering
ἑξέτε᾽ ἀδμήτην, ἥ τ᾽ ἀλγίστη δαμάσασθαι·
six-year-old unbroken which — hardest to-tame
τῷ δ᾽ ἄρα νικηθέντι τίθει δέπας ἀμφικύπελλον.
for-the and then defeated he-set a-cup double-handled
στῆ δ᾽ ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
he-stood and upright and word among the-Argives spoke
“ Ἀτρεΐδη τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί,
son-of-Atreus both and other well-greaved Achaeans
ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω,
men two for these we-bid who indeed best-two
πὺξ μάλ᾽ ἀνασχομένω πεπληγέμεν· ᾧ δέ κ᾽ Ἀπόλλων
with-fist very putting-up-hands to-strike to-whom and — Apollo
δώῃ καμμονίην, γνώωσι δὲ πάντες Ἀχαιοί,
grant endurance may-know and all the-Achaeans
ἡμίονον ταλαεργὸν ἄγων κλισίηνδε νεέσθω·
the-mule hard-working leading hutward let-him-go
αὐτὰρ ὁ νικηθεὶς δέπας οἴσεται ἀμφικύπελλον.”
but the defeated the-cup will-carry-off double-handled
Ὣς ἔφατ᾽, ὄρνυτο δ᾽ αὐτίκ᾽ ἀνὴρ ἠΰς τε μέγας τε
So he-spoke rose and at-once a-man good both great and
εἰδὼς πυγμαχίης, υἱὸς Πανοπῆος Ἐπειός,
skilled of-boxing the-son of-Panopeus Epeius
ἅψατο δ᾽ ἡμιόνου ταλαεργοῦ φώνησέν τε·
he-laid-hold and of-the-mule hard-working spoke and
“ἆσσον ἴτω ὅς τις δέπας οἴσεται ἀμφικύπελλον·
nearer let-come who any the-cup will-carry-off double-handled

ἡμίονον δ' οὔ φημί τιν' ἀξέμεν ἄλλον Ἀχαιῶν
the-mule but not I-say any to-lead-away other of-the-Achaeans
πυγμῇ νικήσαντ', ἐπεὶ εὔχομαι εἶναι ἄριστος.
with-the-fist having-conquered since I-boast to-be best
ἦ οὐχ ἅλις ὅττι μάχης ἐπιδεύομαι; οὐδ' ἄρα πως ἦν
truly not enough that of-battle I-fall-short nor then somehow was-it-given
ἐν πάντεσσ' ἔργοισι δαήμονα φῶτα γενέσθαι.
in all works skilled a-man to-be
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
thus for I-will-speak-out it and also accomplished will-be
ἀντικρὺ χρόα τε ῥήξω σύν τ' ὀστέ' ἀράξω.
outright the-flesh both I-will-break together and the-bones crush
κηδεμόνες δέ οἱ ἐνθάδ' ἀολλέες αὖθι μενόντων,
the-mourners and his here all-together there let-remain
οἵ κέ μιν ἐξοίσουσιν ἐμῇς ὑπὸ χερσὶ δαμέντα."
who — him will-carry-out my under hands subdued
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
So he-spoke they and then all silent became in-silence
Εὐρύαλος δέ οἱ οἶος ἀνίστατο, ἰσόθεος φώς,
Euryalus and to-him alone rose godlike man
Μηκιστῆος υἱὸς Ταλαϊονίδαο ἄνακτος,
of-Mecisteus son of-the-son-of-Talaus lord
ὅς ποτε Θήβασδ' ἦλθε δεδουπότος Οἰδιπόδαο
who once to-Thebes came of-the-fallen Oedipus
ἐς τάφον· ἔνθα δὲ πάντας ἐνίκα Καδμείωνας.
to the-burial there and all he-conquered the-Cadmeans
τὸν μὲν Τυδεΐδης δουρικλυτὸς ἀμφεπονεῖτο
him indeed the-son-of-Tydeus spear-famed attended
θαρσύνων ἔπεσιν, μέγα δ' αὐτῷ βούλετο νίκην.
encouraging with-words greatly and for-him wished victory

ζῶμα δέ οἱ πρῶτον παρακάββαλεν, αὐτὰρ ἔπειτα
a-girdle and for-him first he-threw-beside but then
δῶκεν ἱμάντας ἐϋτμήτους βοὸς ἀγραύλοιο.
gave thongs well-cut of-ox of-the-field
τὼ δὲ ζωσαμένω βήτην ἐς μέσσον ἀγῶνα,
the-two and having-girded went into middle gathering
ἄντα δ' ἀνασχομένω χερσὶ στιβαρῇσιν ἄμ' ἄμφω
facing and putting-up-hands with-hands stout together both
σύν ῥ' ἔπεσον, σὺν δέ σφι βαρεῖαι χεῖρες ἔμιχθεν.
together then fell together and of-them heavy hands mingled
δεινὸς δὲ χρόμαδος γενύων γένετ', ἔρρεε δ' ἱδρὼς
terrible and grinding of-jaws arose flowed and sweat
πάντοθεν ἐκ μελέων· ἐπὶ δ' ὄρνυτο δῖος Ἐπειός,
everywhere from limbs at(-him) and rose noble Epeius
κόψε δὲ παπτήναντα παρῄϊον· οὐδ' ἄρ' ἔτι δὴν
struck and peering the-cheek nor then longer long
ἑστήκειν· αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα.
he-stood there for sank-under glorious limbs
ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέω ἀναπάλλεται ἰχθὺς
as and when under the-ripple of-Boreas leaps-up a-fish
θίν' ἐν φυκιόεντι, μέλαν δέ ἑ κῦμα κάλυψεν,
shore on weedy dark and him wave covered
ὣς πληγεὶς ἀνέπαλτ' αὐτὰρ μεγάθυμος Ἐπειὸς
so struck he-leapt-up but great-hearted Epeius
χερσὶ λαβὼν ὤρθωσε· φίλοι δ' ἀμφέσταν ἑταῖροι,
with-hands taking raised(-him) dear and stood-around comrades
οἵ μιν ἄγον δι' ἀγῶνος ἐφελκομένοισι πόδεσσιν
who him led through the-gathering trailing feet
αἷμα παχὺ πτύοντα, κάρη βάλλονθ' ἑτέρωσε·
blood thick spitting head drooping to-one-side

κὰδ δ᾽ ἀλλοφρονέοντα μετὰ σφίσιν εἶσαν ἄγοντες,
down and wandering-in-mind among themselves set leading(-him)
αὐτοὶ δ᾽ οἰχόμενοι κόμισαν δέπας ἀμφικύπελλον.
themselves and going brought the-cup double-handled
Πηλεΐδης δ᾽ αἶψ᾽ ἄλλα κατὰ τρίτα θῆκεν ἄεθλα
the-son-of-Peleus and quickly other down third set prizes
δεικνύμενος Δαναοῖσι, παλαισμοσύνης ἀλεγεινῆς,
showing to-the-Danaans of-wrestling painful
τῷ μὲν νικήσαντι μέγαν τρίποδ᾽ ἐμπυριβήτην,
for-the indeed victor great tripod for-standing-on-fire
τὸν δὲ δυωδεκάβοιον ἐνὶ σφίσι τῖον Ἀχαιοί·
it and worth-twelve-oxen among themselves valued the-Achaeans
ἀνδρὶ δὲ νικηθέντι γυναῖκ᾽ ἐς μέσσον ἔθηκε,
for-the-man and defeated a-woman into middle he-set
πολλὰ δ᾽ ἐπίστατο ἔργα, τίον δέ ἑ τεσσαράβοιον.
many and she-knew works valued and her worth-four-oxen
στῆ δ᾽ ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
he-stood and upright and word among the-Argives spoke
"ὄρνυσθ᾽ οἳ καὶ τούτου ἀέθλου πειρήσεσθον."
rise who also of-this prize will-make-trial
ὣς ἔφατ᾽, ὦρτο δ᾽ ἔπειτα μέγας Τελαμώνιος Αἴας,
so he-spoke rose and then great Telamonian Ajax
ἂν δ᾽ Ὀδυσεὺς πολύμητις ἀνίστατο, κέρδεα εἰδώς.
up and Odysseus of-many-wiles rose tricks knowing
ζωσαμένω δ᾽ ἄρα τώ γε βάτην ἐς μέσσον ἀγῶνα,
having-girded and then the-two indeed went into middle gathering

ἀγκὰς δ᾽ ἀλλήλων λαβέτην χερσὶ στιβαρῇσιν
in-the-arms and each-other took with-hands stout
ὡς ὅτ᾽ ἀμείβοντες, τούς τε κλυτὸς ἤραρε τέκτων
as when rafters which — famed has-fitted builder
δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων.
of-a-house high the-forces of-winds avoiding
τετρίγει δ᾽ ἄρα νῶτα θρασειάων ἀπὸ χειρῶν
creaked and then backs bold from hands
ἑλκόμενα στερεῶς· κατὰ δὲ νότιος ῥέεν ἱδρώς,
pulled hard down and wet flowed sweat
πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευράς τε καὶ ὤμους
thick and weals along ribs both and shoulders
αἵματι φοινικόεσσαι ἀνέδραμον· οἱ δὲ μάλ᾽ αἰεὶ
with-blood red ran-up they and very always
νίκης ἱέσθην τρίποδος πέρι ποιητοῖο·
for-victory strove the-tripod for well-made
οὔτ᾽ Ὀδυσεὺς δύνατο σφῆλαι οὔδει τε πελάσσαι,
neither Odysseus could to-trip(-him) to-the-ground and to-bring-near
οὔτ᾽ Αἴας δύνατο, κρατερὴ δ᾽ ἔχεν ἶς Ὀδυσῆος.
nor Ajax could mighty and held strength of-Odysseus
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἀνίαζον ἐϋκνήμιδας Ἀχαιούς,
but when indeed then they-were-wearying the-well-greaved Achaeans
δὴ τότε μιν προσέειπε μέγας Τελαμώνιος Αἴας·
indeed then him addressed great Telamonian Ajax
“διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
ἤ μ᾽ ἀνάειρ᾽, ἢ ἐγὼ σέ· τὰ δ᾽ αὖ Διὶ πάντα μελήσει.”
either me lift or I you these and in-turn to-Zeus all will-be-a-care

Ὣς εἰπὼν ἀνάειρε· δόλου δ' οὐ λήθετ' Ὀδυσσεύς·
So having-spoken he-lifted of-trickery but not forgot Odysseus
κόψ' ὄπιθεν κώληπα τυχών, ὑπέλυσε δὲ γυῖα,
struck behind the-hollow-of-the-knee hitting loosed and limbs
κὰδ δ' ἔβαλ' ἐξοπίσω· ἐπὶ δὲ στήθεσσιν Ὀδυσσεὺς
down and he-threw(-him) backward on and chest Odysseus
κάππεσε· λαοὶ δ' αὖ θηεῦντό τε θάμβησάν τε.
fell the-people and in-turn gazed both marveled and
δεύτερος αὖτ' ἀνάειρε πολύτλας δῖος Ὀδυσσεύς,
second in-turn lifted much-enduring noble Odysseus
κίνησεν δ' ἄρα τυτθὸν ἀπὸ χθονός, οὐδ' ἔτ' ἄειρεν,
moved and then little from the-ground nor longer lifted
ἐν δὲ γόνυ γνάμψεν· ἐπὶ δὲ χθονὶ κάππεσον ἄμφω
in and knee bent on and ground fell both
πλησίοι ἀλλήλοισι, μιάνθησαν δὲ κονίῃ.
near each-other were-soiled and with-dust
καί νύ κε τὸ τρίτον αὖτις ἀναΐξαντε πάλαιον,
and now — the third-time again having-sprung-up they-would-have-wrestled
εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο καὶ κατέρυκε·
if not Achilles himself rose and held-back(-them)
"μηκέτ' ἐρείδεσθον, μηδὲ τρίβεσθε κακοῖσι·
no-longer push nor wear-yourselves-out with-evils
νίκη δ' ἀμφοτέροισιν· ἀέθλια δ' ἶσ' ἀνελόντες
victory and to-both prizes and equal having-taken
ἔρχεσθ', ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν Ἀχαιοί."
go that also others may-contend the-Achaeans
Ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο,
So he-spoke they and then him very indeed heard and obeyed
καί ῥ' ἀπομορξαμένω κονίην δύσαντο χιτῶνας.
and then having-wiped-off the-dust put-on tunics

For the footrace Achilles sets a silver mixing bowl made by Sidonians. Ajax son of Oileus leads with Odysseus close behind, until Odysseus prays to Athena and Ajax slips in the dung of the sacrificed cattle. Odysseus takes the bowl and Ajax the ox, complaining that the goddess favors Odysseus. Antilochus jokes that the gods honor older men, and Achilles adds gold to his prize. In the armed duel Ajax son of Telamon and Diomedes fight until the Achaeans, fearing for Ajax, stop them, and Diomedes is given the sword.

Πηλεΐδης δ' αἶψ' ἄλλα τίθει ταχυτῆτος ἄεθλα,
the-son-of-Peleus and quickly other set of-speed prizes
ἀργύρεον κρητῆρα, τετυγμένον· ἓξ δ' ἄρα μέτρα
silver mixing-bowl wrought six and then measures
χάνδανεν, αὐτὰρ κάλλει ἐνίκα πᾶσαν ἐπ' αἶαν
it-held but in-beauty it-surpassed all over the-earth
πολλόν, ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν,
by-far since Sidonians skilled-in-art well had-wrought(-it)
Φοίνικες δ' ἄγον ἄνδρες ἐπ' ἠεροειδέα πόντον,
Phoenicians and brought men over the-misty sea
στῆσαν δ' ἐν λιμένεσσι, Θόαντι δὲ δῶρον ἔδωκαν·
set(-it) and in harbors to-Thoas and as-a-gift gave(-it)
υἱὸς δὲ Πριάμοιο Λυκάονος ὦνον ἔδωκε
of-the-son and of-Priam Lycaon as-price gave(-it)
Πατρόκλῳ ἥρωϊ Ἰησονίδης Εὔνηος.
to-Patroclus the-hero the-son-of-Jason Euneus
καὶ τὸν Ἀχιλλεὺς θῆκεν ἀέθλιον οὗ ἑτάροιο,
and it Achilles set as-a-prize of-his comrade
ὅς τις ἐλαφρότατος ποσσὶ κραιπνοῖσι πέλοιτο·
who any lightest with-feet swift should-be

δευτέρῳ αὖ βοῦν θῆκε μέγαν καὶ πίονα δημῷ,
for-the-second in-turn an-ox he-set great and rich with-fat
ἡμιτάλαντον δὲ χρυσοῦ λοισθήϊ' ἔθηκε.
half-a-talent and of-gold for-the-last he-set
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
he-stood and upright and word among the-Argives spoke
"ὄρνυσθ' οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε."
rise who also of-this prize will-make-trial
ὣς ἔφατ', ὄρνυτο δ' αὐτίκ' Ὀϊλῆος ταχὺς Αἴας,
so he-spoke rose and at-once of-Oïleus swift Ajax
ἂν δ' Ὀδυσεὺς πολύμητις, ἔπειτα δὲ Νέστορος υἱὸς
up and Odysseus of-many-wiles then and of-Nestor the-son
Ἀντίλοχος· ὁ γὰρ αὖτε νέους ποσὶ πάντας ἐνίκα.
Antilochus he for again the-young with-feet all conquered
στὰν δὲ μεταστοιχί· σήμηνε δὲ τέρματ' Ἀχιλλεύς.
they-stood and in-a-row showed and the-turning-post Achilles
τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος· ὦκα δ' ἔπειτα
for-them and from the-post was-stretched the-course quickly and then
ἔκφερ' Ὀϊλιάδης· ἐπὶ δ' ὄρνυτο δῖος Ὀδυσσεὺς
shot-ahead the-son-of-Oïleus after and rose noble Odysseus
ἄγχι μάλ', ὡς ὅτε τίς τε γυναικὸς ἐϋζώνοιο
near very as when some — of-a-woman well-girdled
στήθεός ἐστι κανών, ὅν τ' εὖ μάλα χερσὶ τανύσσῃ
to-the-breast is the-rod which — well very with-hands she-stretches
πηνίον ἐξέλκουσα παρὲκ μίτον, ἀγχόθι δ' ἴσχει
the-spool drawing-out past the-warp near and holds
στήθεος· ὣς Ὀδυσεὺς θέεν ἐγγύθεν, αὐτὰρ ὄπισθεν
to-the-breast so Odysseus ran close but behind
ἴχνια τύπτε πόδεσσι πάρος κόνιν ἀμφιχυθῆναι·
the-footprints struck with-feet before the-dust settled

κὰδ δ᾽ ἄρα οἱ κεφαλῆς χέ᾽ ἀϋτμένα δῖος Ὀδυσσεὺς
down and then on-his head poured breath noble Odysseus
αἰεὶ ῥίμφα θέων· ἴαχον δ᾽ ἐπὶ πάντες Ἀχαιοὶ
always lightly running shouted and thereat all the-Achaeans
νίκης ἱεμένῳ, μάλα δὲ σπεύδοντι κέλευον.
for-victory to-him-striving greatly and to-him-hastening called
ἀλλ᾽ ὅτε δὴ πύματον τέλεον δρόμον, αὐτίκ᾽ Ὀδυσσεὺς
but when indeed the-last finished course at-once Odysseus
εὔχετ᾽ Ἀθηναίῃ γλαυκώπιδι ὃν κατὰ θυμόν·
prayed to-Athena flashing-eyed his in heart
"κλῦθι, θεά, ἀγαθή μοι ἐπίρροθος ἐλθὲ ποδοῖιν."
hear goddess good to-me a-helper come to-the-feet
ὣς ἔφατ᾽ εὐχόμενος· τοῦ δ᾽ ἔκλυε Παλλὰς Ἀθήνη,
so he-spoke praying him and heard Pallas Athena
γυῖα δ᾽ ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν.
limbs and she-made light feet and hands above
ἀλλ᾽ ὅτε δὴ τάχ᾽ ἔμελλον ἐπαΐξασθαι ἄεθλον,
but when indeed soon they-were-about to-dart-at the-prize
ἔνθ᾽ Αἴας μὲν ὄλισθε θέων — βλάψεν γὰρ Ἀθήνη —
then Ajax indeed slipped running hampered(-him) for Athena
τῇ ῥα βοῶν κέχυτ᾽ ὄνθος ἀποκταμένων ἐριμύκων,
where then of-oxen was-spilled dung slain loud-bellowing
οὓς ἐπὶ Πατρόκλῳ πέφνεν πόδας ὠκὺς Ἀχιλλεύς·
which over Patroclus slew in-feet swift Achilles
ἐν δ᾽ ὄνθου βοέου πλῆτο στόμα τε ῥῖνάς τε·
in and with-dung of-oxen was-filled mouth both nostrils and
κρητῆρ᾽ αὖτ᾽ ἀνάειρε πολύτλας δῖος Ὀδυσσεύς,
the-mixing-bowl in-turn took-up much-enduring noble Odysseus
ὡς ἦλθε φθάμενος· ὁ δὲ βοῦν ἕλε φαίδιμος Αἴας.
as he-came first he and the-ox took glorious Ajax

στῆ δὲ κέρας μετὰ χερσὶν ἔχων βοὸς ἀγραύλοιο
he-stood and the-horn in hands holding of-the-ox of-the-field
ὄνθον ἀποπτύων, μετὰ δ' Ἀργείοισιν ἔειπεν·
dung spitting-out among and the-Argives spoke
"ὦ πόποι, ἦ μ' ἔβλαψε θεὰ πόδας, ἦ τὸ πάρος περ
oh for-shame truly me hampered the-goddess in-feet who the before indeed
μήτηρ ὣς Ὀδυσῆϊ παρίσταται ἠδ' ἐπαρήγει."
mother like to-Odysseus stands-beside and helps
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.
So he-spoke they and then all at him sweetly laughed
Ἀντίλοχος δ' ἄρα δὴ λοισθήϊον ἔκφερ' ἄεθλον
Antilochus and then indeed the-last carried-off prize
μειδιόων, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
smiling and word among the-Argives spoke
"εἰδόσιν ὔμμ' ἐρέω πᾶσιν, φίλοι, ὡς ἔτι καὶ νῦν
knowing you I-will-tell all friends that still even now
ἀθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους.
the-immortals honor older men
Αἴας μὲν γὰρ ἐμεῖ' ὀλίγον προγενέστερός ἐστιν,
Ajax indeed for than-me a-little older is
οὗτος δὲ προτέρης γενεῆς προτέρων τ' ἀνθρώπων·
this-one but of-earlier generation earlier and men
ὠμογέροντα δέ μίν φασ' ἔμμεναι· ἀργαλέον δὲ
a-green-old-man and him they-say to-be hard but
ποσσὶν ἐριδήσασθαι Ἀχαιοῖς, εἰ μὴ Ἀχιλλεῖ."
with-feet to-contend for-the-Achaeans if not for-Achilles
Ὣς φάτο, κύδηνεν δὲ ποδώκεα Πηλεΐωνα.
So he-spoke glorified and swift-footed the-son-of-Peleus
τὸν δ' Ἀχιλεὺς μύθοισιν ἀμειβόμενος προσέειπεν·
him and Achilles with-words answering addressed

“ Ἀντίλοχ’, οὐ μέν τοι μέλεος εἰρήσεται αἶνος,
Antilochus not indeed you-know in-vain will-be-spoken the-praise
ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσοῦ ἐπιθήσω.”
but to-you a-half-talent I of-gold will-add
Ὣς εἰπὼν ἐν χερσὶ τίθει, ὁ δ’ ἐδέξατο χαίρων.
So having-spoken in hands placed he and received rejoicing
αὐτὰρ Πηλεΐδης κατὰ μὲν δολιχόσκιον ἔγχος
but the-son-of-Peleus down indeed long-shadowed spear
θῆκ’ ἐς ἀγῶνα φέρων, κατὰ δ’ ἀσπίδα καὶ τρυφάλειαν
set into the-gathering bearing down and shield and helmet
τεύχεα Σαρπήδοντος, ἅ μιν Πάτροκλος ἀπηύρα.
the-arms of-Sarpedon which him Patroclus took-from
στῆ δ’ ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
he-stood and upright and word among the-Argives spoke
“ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω,
men two for these we-bid who indeed best-two
τεύχεα ἑσσαμένω, ταμεσίχροα χαλκὸν ἑλόντε,
armor having-put-on flesh-cutting bronze having-taken
ἀλλήλων προπάροιθεν ὁμίλου πειρηθῆναι.
each-other in-front-of the-throng to-make-trial
ὁππότερός κε φθῇσιν ὀρεξάμενος χρόα καλόν,
whichever — first having-reached the-flesh fair
ψαύσῃ δ’ ἐνδίνων διά τ’ ἔντεα καὶ μέλαν αἷμα,
touch and the-inner-parts through both armor and dark blood
τῷ μὲν ἐγὼ δώσω τόδε φάσγανον ἀργυρόηλον
to-him indeed I will-give this sword silver-studded
καλὸν Θρηΐκιον, τὸ μὲν Ἀστεροπαῖον ἀπηύρων·
fair Thracian which indeed from-Asteropaeus I-took

τεύχεα δ' ἀμφότεροι ξυνήϊα ταῦτα φερέσθων·
the-arms but both in-common these let-carry-off
καί σφιν δαῖτ' ἀγαθὴν παραθήσομεν ἐν κλισίῃσιν."
and to-them feast good we-will-set-before in the-huts
Ὣς ἔφατ', ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴας,
So he-spoke rose and then great Telamonian Ajax
ἂν δ' ἄρα Τυδεΐδης ὦρτο, κρατερὸς Διομήδης.
up and then the-son-of-Tydeus rose mighty Diomedes
οἱ δ' ἐπεὶ οὖν ἑκάτερθεν ὁμίλου θωρήχθησαν,
they and when then on-either-side of-the-throng had-armed
ἐς μέσον ἀμφοτέρω συνίτην μεμαῶτε μάχεσθαι
into middle both came-together eager to-fight
δεινὸν δερκομένω· θάμβος δ' ἔχε πάντας Ἀχαιούς.
terribly glaring wonder and held all the-Achaeans
ἀλλ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
but when indeed near they-were against each-other going
τρὶς μὲν ἐπήϊξαν, τρὶς δὲ σχεδὸν ὁρμήθησαν.
thrice indeed they-rushed thrice and close they-charged
ἔνθ' Αἴας μὲν ἔπειτα κατ' ἀσπίδα πάντοσ' ἐΐσην
then Ajax indeed then on shield on-all-sides equal
νύξ', οὐδὲ χρὸ' ἵκανεν· ἔρυτο γὰρ ἔνδοθι θώρηξ·
struck nor the-flesh reached guarded for within the-corselet
Τυδεΐδης δ' ἄρ' ἔπειτα ὑπὲρ σάκεος μεγάλοιο
the-son-of-Tydeus and then thereafter over shield great
αἰὲν ἐπ' αὐχένι κῦρε φαεινοῦ δουρὸς ἀκωκῇ.
always at neck aimed of-bright spear with-the-point
καὶ τότε δή ῥ' Αἴαντι περιδείσαντες Ἀχαιοὶ
and then indeed then for-Ajax fearing the-Achaeans
παυσαμένους ἐκέλευσαν ἀέθλια ἶσ' ἀνελέσθαι.
ceasing bade prizes equal to-take

αὐτὰρ Τυδεΐδῃ δῶκεν μέγα φάσγανον ἥρως
but to-the-son-of-Tydeus gave great sword the-hero
σὺν κολεῷ τε φέρων καὶ ἐϋτμήτῳ τελαμῶνι.
with scabbard both bearing and well-cut baldric

XXIII.10 · THE WEIGHT, THE BOW, AND THE SPEAR

Achilles sets out a lump of iron as both weight and prize, and Polypoetes throws it farthest. For the archery he ties a dove to a ship's mast. Teucer vows nothing to Apollo, misses the bird, and cuts the cord. Meriones vows a hecatomb to Apollo and shoots the dove as it circles. For the spear throw Achilles proposes that Agamemnon take the cauldron without a contest and Meriones the spear. Agamemnon agrees and hands his prize to the herald Talthybius.

Αὐτὰρ Πηλεΐδης θῆκεν σόλον αὐτοχόωνον,
But the-son-of-Peleus set a-weight self-cast
ὃν πρὶν μὲν ῥίπτασκε μέγα σθένος Ἠετίωνος·
which before indeed used-to-hurl great might of-Eetion
ἀλλ᾽ ἤτοι τὸν ἔπεφνε ποδάρκης δῖος Ἀχιλλεύς,
but truly him slew swift-footed noble Achilles
τὸν δ᾽ ἄγετ᾽ ἐν νήεσσι σὺν ἄλλοισι κτεάτεσσι.
it and he-brought in the-ships with other possessions
στῆ δ᾽ ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
he-stood and upright and word among the-Argives spoke
"ὄρνυσθ᾽ οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.
rise who also of-this prize will-make-trial
εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι πίονες ἀγροί,
if for-him even very much far-off rich fields

ἕξει μιν καὶ πέντε περιπλομένους ἐνιαυτοὺς
he-will-have it even five revolving years
χρεώμενος· οὐ μὲν γάρ οἱ ἀτεμβόμενός γε σιδήρου
using(-it) not indeed for him lacking indeed iron
ποιμὴν οὐδ' ἀροτὴρ εἶσ' ἐς πόλιν, ἀλλὰ παρέξει."
shepherd nor plowman will-go to the-city but it-will-supply
Ὣς ἔφατ', ὦρτο δ' ἔπειτα μενεπτόλεμος Πολυποίτης,
So he-spoke rose and then steadfast-in-war Polypoetes
ἂν δὲ Λεοντῆος κρατερὸν μένος ἀντιθέοιο,
up and of-Leonteus mighty strength godlike
ἂν δ' Αἴας Τελαμωνιάδης καὶ δῖος Ἐπειός.
up and Ajax son-of-Telamon and noble Epeius
ἑξείης δ' ἵσταντο, σόλον δ' ἕλε δῖος Ἐπειός,
in-a-row and they-stood the-weight and took noble Epeius
ἧκε δὲ δινήσας· γέλασαν δ' ἐπὶ πάντες Ἀχαιοί.
threw and whirling laughed and thereat all the-Achaeans
δεύτερος αὖτ' ἀφέηκε Λεοντεύς, ὄζος Ἄρηος·
second in-turn threw Leonteus scion of-Ares
τὸ τρίτον αὖτ' ἔρριψε μέγας Τελαμώνιος Αἴας
the third-time in-turn hurled great Telamonian Ajax
χειρὸς ἄπο στιβαρῆς, καὶ ὑπέρβαλε σήματα πάντων.
hand from stout and overshot the-marks of-all
ἀλλ' ὅτε δὴ σόλον εἶλε μενεπτόλεμος Πολυποίτης,
but when indeed the-weight took steadfast-in-war Polypoetes
ὅσσόν τίς τ' ἔρριψε καλαύροπα βουκόλος ἀνήρ,
as-far-as someone — hurls a-staff herdsman man
ἡ δέ θ' ἑλισσομένη πέτεται διὰ βοῦς ἀγελαίας,
it and — whirling flies through cattle of-the-herd
τόσσον παντὸς ἀγῶνος ὑπέρβαλε· τοὶ δὲ βόησαν.
so-far all the-gathering he-overshot they and shouted

ἀνστάντες δ' ἕταροι Πολυποίταο κρατεροῖο
having-stood-up and the-comrades of-Polypoetes mighty
νῆας ἔπι γλαφυρὰς ἔφερον βασιλῆος ἄεθλον.
ships to hollow carried of-the-king the-prize
Αὐτὰρ ὁ τοξευτῇσι τίθει ἰόεντα σίδηρον,
But he for-the-archers set dark iron
κὰδ δ' ἐτίθει δέκα μὲν πελέκεας, δέκα δ' ἡμιπέλεκκα,
down and set ten indeed double-axes ten and single-axes
ἱστὸν δ' ἔστησεν νηὸς κυανοπρῴροιο
mast and he-set-up of-a-ship dark-prowed
τηλοῦ ἐπὶ ψαμάθοις, ἐκ δὲ τρήρωνα πέλειαν
far-off on the-sands from and a-trembling dove
λεπτῇ μηρίνθῳ δῆσεν ποδός, ἧς ἄρ' ἀνώγει
with-thin cord he-tied by-the-foot at-which then he-bade
τοξεύειν· "ὃς μέν κε βάλῃ τρήρωνα πέλειαν,
to-shoot who indeed — hits trembling dove
πάντας ἀειράμενος πελέκεας οἰκόνδε φερέσθω·
all having-taken-up the-double-axes homeward let-him-carry
ὃς δέ κε μηρίνθοιο τύχῃ, ὄρνιθος ἁμαρτών,
who but — the-cord hits the-bird having-missed
ἥσσων γὰρ δὴ κεῖνος, ὁ δ' οἴσεται ἡμιπέλεκκα."
lesser for indeed he he and will-carry-off the-single-axes
Ὣς ἔφατ', ὦρτο δ' ἔπειτα βίη Τεύκροιο ἄνακτος,
So he-spoke rose and then the-might of-Teucer lord
ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐΰς Ἰδομενῆος.
up and then Meriones attendant good of-Idomeneus
κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες,
lots and in helmet bronze-fitted shook having-taken

Τεῦκρος δὲ πρῶτος κλήρῳ λάχεν· αὐτίκα δ' ἰὸν
Teucer and first by-lot drew at-once and an-arrow
ἧκεν ἐπικρατέως, οὐδ' ἠπείλησεν ἄνακτι
sent mightily nor promised to-the-lord
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
of-lambs firstborn to-offer glorious hecatomb
ὄρνιθος μὲν ἅμαρτε· μέγηρε γάρ οἱ τό γ' Ἀπόλλων·
the-bird indeed he-missed begrudged for him this indeed Apollo
αὐτὰρ ὁ μήρινθον βάλε πὰρ πόδα, τῇ δέδετ' ὄρνις·
but he the-cord hit by foot where was-tied the-bird
ἀντικρὺ δ' ἀπὸ μήρινθον τάμε πικρὸς ὀϊστός.
right-through and off the-cord cut bitter arrow
ἡ μὲν ἔπειτ' ἤϊξε πρὸς οὐρανόν, ἡ δὲ παρείθη
it indeed then darted toward heaven it and hung-loose
μήρινθος ποτὶ γαῖαν· ἀτὰρ κελάδησαν Ἀχαιοί.
the-cord toward the-earth but shouted the-Achaeans
σπερχόμενος δ' ἄρα Μηριόνης ἐξείρυσε χειρὸς
hurrying and then Meriones snatched from-hand
τόξον· ἀτὰρ δὴ ὀϊστὸν ἔχεν πάλαι, ὡς ἴθυνεν.
the-bow but indeed the-arrow held long-since as he-aimed
αὐτίκα δ' ἠπείλησεν ἑκηβόλῳ Ἀπόλλωνι
at-once and promised to-the-far-shooting Apollo
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
of-lambs firstborn to-offer glorious hecatomb
ὕψι δ' ὑπὸ νεφέων εἶδε τρήρωνα πέλειαν·
high and under the-clouds he-saw trembling dove
τῇ ῥ' ὅ γε δινεύουσαν ὑπὸ πτέρυγος βάλε μέσσην,
there then he indeed circling under wing struck middle

ἀντικρὺ δὲ διῆλθε βέλος· τὸ μὲν ἂψ ἐπὶ γαίῃ
right-through and passed the-shaft it indeed back on earth
πρόσθεν Μηριόναο πάγη ποδός· αὐτὰρ ἡ ὄρνις
in-front-of Meriones stuck foot but the bird
ἱστῷ ἐφεζομένη νηὸς κυανοπρῴροιο
on-the-mast perching of-the-ship dark-prowed
αὐχέν' ἀπεκρέμασεν, σὺν δὲ πτερὰ πυκνὰ λίασθεν.
neck hung-down together and wings thick drooped
ὠκὺς δ' ἐκ μελέων θυμὸς πτάτο, τῆλε δ' ἀπ' αὐτοῦ
swift and from limbs life flew far and from it
κάππεσε· λαοὶ δ' αὖ θηεῦντό τε θάμβησάν τε.
fell the-people and in-turn gazed both marveled and
ἂν δ' ἄρα Μηριόνης πελέκεας δέκα πάντας ἄειρε,
up and then Meriones double-axes ten all took
Τεῦκρος δ' ἡμιπέλεκκα φέρεν κοίλας ἐπὶ νῆας.
Teucer and the-single-axes carried hollow to ships
Αὐτὰρ Πηλεΐδης κατὰ μὲν δολιχόσκιον ἔγχος,
But the-son-of-Peleus down indeed long-shadowed spear
κὰδ δὲ λέβητ' ἄπυρον, βοὸς ἄξιον, ἀνθεμόεντα
down and a-cauldron unfired an-ox worth flowered
θῆκ' ἐς ἀγῶνα φέρων· καί ῥ' ἥμονες ἄνδρες ἀνέσταν·
set into the-gathering bearing and then javelin-throwing men rose
ἂν μὲν ἄρ' Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων,
up indeed then the-son-of-Atreus wide ruling Agamemnon
ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐΰς Ἰδομενῆος.
up and then Meriones attendant good of-Idomeneus
τοῖσι δὲ καὶ μετέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
among-them and also spoke swift-footed noble Achilles

“ Ἀτρεΐδη· ἴδμεν γὰρ ὅσον προβέβηκας ἁπάντων
son-of-Atreus we-know for how-much you-surpass all
ἠδ’ ὅσσον δυνάμει τε καὶ ἥμασιν ἔπλευ ἄριστος·
and how-much in-might both and in-throws you-are best
ἀλλὰ σὺ μὲν τόδ’ ἄεθλον ἔχων κοίλας ἐπὶ νῆας
but you indeed this prize having hollow to ships
ἔρχευ, ἀτὰρ δόρυ Μηριόνῃ ἥρωϊ πόρωμεν,
go but the-spear to-Meriones hero let-us-give
εἰ σύ γε σῷ θυμῷ ἐθέλοις· κέλομαι γὰρ ἔγωγε.”
if you indeed in-your heart should-wish I-bid for I-indeed
Ὣς ἔφατ’, οὐδ’ ἀπίθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
So he-spoke nor disobeyed lord of-men Agamemnon
δῶκε δὲ Μηριόνῃ δόρυ χάλκεον· αὐτὰρ ὅ γ’ ἥρως
gave and to-Meriones spear bronze but he indeed the-hero
Ταλθυβίῳ κήρυκι δίδου περικαλλὲς ἄεθλον.
to-Talthybius herald gave very-fair prize

BOOK XXIV

XXIV.1 · THE GODS DEBATE

The games are over. Achilles lies sleepless for Patroclus and each dawn drags Hector three times around the tomb. Apollo shields the body with his golden aegis. The gods want Hermes to steal it, but Hera, Poseidon, and Athena refuse because of the judgment of Paris. On the twelfth day Apollo reproaches the gods for favoring the pitiless Achilles. Hera answers that Achilles is a goddess's son. Zeus rules out a theft and asks for Thetis, so that Achilles may take Priam's gifts and release Hector.

Λῦτο δ' ἀγών, λαοὶ δὲ θοὰς ἐπὶ νῆας ἕκαστοι
Was-dissolved and the-gathering the-people and swift to ships each
ἐσκίδναντ' ἰέναι. τοὶ μὲν δόρποιο μέδοντο
scattered to-go they indeed of-supper took-thought
ὕπνου τε γλυκεροῦ ταρπήμεναι· αὐτὰρ Ἀχιλλεὺς
of-sleep and sweet to-take-their-fill but Achilles
κλαῖε φίλου ἑτάρου μεμνημένος, οὐδέ μιν ὕπνος
wept of-dear comrade remembering nor him sleep
ᾕρει πανδαμάτωρ, ἀλλ' ἐστρέφετ' ἔνθα καὶ ἔνθα,
took all-subduing but he-turned this-way and that
Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένος ἠΰ,
for-Patroclus longing manhood both and strength good
ἠδ' ὁπόσα τολύπευσε σὺν αὐτῷ καὶ πάθεν ἄλγεα,
and how-many-things he-wound-up with him and suffered pains
ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων·
of-men both wars grievous and waves crossing
τῶν μιμνησκόμενος θαλερὸν κατὰ δάκρυον εἶβεν,
these remembering swelling down tear he-shed

ἄλλοτ᾽ ἐπὶ πλευρὰς κατακείμενος, ἄλλοτε δ᾽ αὖτε
at-times on sides lying at-other-times and again
ὕπτιος, ἄλλοτε δὲ πρηνής· τοτὲ δ᾽ ὀρθὸς ἀναστὰς
on-his-back at-other-times and prone then and upright having-stood
δινεύεσκ᾽ ἀλύων παρὰ θῖν᾽ ἁλός· οὐδέ μιν ἠὼς
he-would-roam distraught along the-shore of-the-sea nor him dawn
φαινομένη λήθεσκεν ὑπείρ ἅλα τ᾽ ἠϊόνας τε.
appearing escaped over sea both beaches and
ἀλλ᾽ ὅ γ᾽ ἐπεὶ ζεύξειεν ὑφ᾽ ἅρμασιν ὠκέας ἵππους,
but he indeed when he-had-yoked under the-chariot swift horses
Ἕκτορα δ᾽ ἕλκεσθαι δησάσκετο δίφρου ὄπισθεν,
Hector and to-be-dragged he-would-bind the-chariot behind
τρὶς δ᾽ ἐρύσας περὶ σῆμα Μενοιτιάδαο θανόντος
thrice and having-dragged around the-tomb of-the-son-of-Menoetius dead
αὖτις ἐνὶ κλισίῃ παυέσκετο, τὸν δέ τ᾽ ἔασκεν
again in hut would-rest him and — he-left
ἐν κόνι ἐκτανύσας προπρηνέα· τοῖο δ᾽ Ἀπόλλων
in dust stretching-out face-down from-him and Apollo
πᾶσαν ἀεικείην ἄπεχε χροΐ φῶτ᾽ ἐλεαίρων
all outrage kept-off the-flesh the-man pitying
καὶ τεθνηότα περ· περὶ δ᾽ αἰγίδι πάντα κάλυπτε
even dead though around and with-the-aegis all covered
χρυσείῃ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
golden that not him he-might-tear dragging
Ὣς ὁ μὲν Ἕκτορα δῖον ἀείκιζεν μενεαίνων·
So he indeed Hector noble outraged raging
τὸν δ᾽ ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες,
him and pitied the-blessed gods looking-on
κλέψαι δ᾽ ὀτρύνεσκον ἐΰσκοπον Ἀργειφόντην.
to-steal(-him) and urged keen-sighted Argus-slayer

ἔνθ᾽ ἄλλοις μὲν πᾶσιν ἐήνδανεν, οὐδέ ποθ᾽ Ἥρῃ
then to-the-others indeed all it-was-pleasing nor ever to-Hera
οὐδὲ Ποσειδάων᾽ οὐδὲ γλαυκώπιδι κούρῃ,
nor Poseidon nor flashing-eyed maiden
ἀλλ᾽ ἔχον ὥς σφιν πρῶτον ἀπήχθετο Ἴλιος ἱρὴ
but kept as to-them first was-hated Ilium holy
καὶ Πρίαμος καὶ λαὸς Ἀλεξάνδρου ἕνεκ᾽ ἄτης,
and Priam and the-people of-Alexander because-of the-folly
ὃς νείκεσσε θεάς, ὅτε οἱ μέσσαυλον ἵκοντο,
who reviled the-goddesses when him to-his-courtyard they-came
τὴν δ᾽ ᾔνησ᾽ ἣ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν.
her and praised who him gave lust grievous
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκ τοῖο δυωδεκάτη γένετ᾽ ἠώς,
but when indeed then from that the-twelfth came dawn
καὶ τότ᾽ ἄρ᾽ ἀθανάτοισι μετηύδα Φοῖβος Ἀπόλλων·
even then then among-the-immortals spoke Phoebus Apollo
“σχέτλιοί ἐστε, θεοί, δηλήμονες· οὔ νύ ποθ᾽ ὑμῖν
cruel you-are gods baneful not now ever for-you
Ἕκτωρ μηρί᾽ ἔκηε βοῶν αἰγῶν τε τελείων;
Hector thighs burned of-oxen of-goats and full-grown
τὸν νῦν οὐκ ἔτλητε νέκυν περ ἐόντα σαῶσαι,
him now not you-dared corpse though being to-save
ἦ τ᾽ ἀλόχῳ ἰδέειν καὶ μητέρι καὶ τέκεϊ ᾧ
for-his both wife to-see and mother and child his
καὶ πατέρι Πριάμῳ λαοῖσί τε, τοί κέ μιν ὦκα
and father Priam the-people and who — him quickly
ἐν πυρὶ κήαιεν καὶ ἐπὶ κτέρεα κτερίσαιεν.
in fire might-burn and over funeral-rites might-perform
ἀλλ᾽ ὀλοῷ Ἀχιλῆϊ, θεοί, βούλεσθ᾽ ἐπαρήγειν,
but baneful Achilles gods you-wish to-help

ᾧ οὔτ᾽ ἄρ φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα
to-whom neither then wits are right nor mind
γναμπτὸν ἐνὶ στήθεσσι, λέων δ᾽ ὡς ἄγρια οἶδεν,
pliant in chest a-lion and as savage-things knows
ὅς τ᾽ ἐπεὶ ἄρ μεγάλῃ τε βίῃ καὶ ἀγήνορι θυμῷ
which — when then great both might and proud heart
εἴξας εἶσ᾽ ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβῃσιν·
yielding goes against flocks of-mortals that a-feast he-may-take
ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδὼς
so Achilles pity indeed has-lost nor his shame
γίγνεται, ἥ τ᾽ ἄνδρας μέγα σίνεται ἠδ᾽ ὀνίνησι.
is which — men greatly harms and benefits
μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
is-likely indeed surely someone even dearer other to-lose
ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν·
either brother of-the-same-womb or even son
ἀλλ᾽ ἤτοι κλαύσας καὶ ὀδυράμενος μεθέηκε·
but truly having-wept and having-lamented he-lets-go
τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.
enduring for the-Fates heart have-set in-men
αὐτὰρ ὅ γ᾽ Ἕκτορα δῖον, ἐπεὶ φίλον ἧτορ ἀπηύρα,
but he indeed Hector noble since dear heart he-took
ἵππων ἐξάπτων περὶ σῆμ᾽ ἑτάροιο φίλοιο
from-the-horses tying around the-tomb of-comrade dear
ἕλκει· οὐ μήν οἱ τό γε κάλλιον οὐδέ τ᾽ ἄμεινον.
drags not surely for-him this indeed nobler nor and better
μὴ ἀγαθῷ περ ἐόντι νεμεσσηθέωμέν οἱ ἡμεῖς·
lest good though being we-be-indignant at-him we
κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων."
dumb for indeed earth he-outrages raging

Τὸν δὲ χολωσαμένη προσέφη λευκώλενος Ἥρη·
Him and angered addressed white-armed Hera
"εἴη κεν καὶ τοῦτο τεὸν ἔπος, ἀργυρότοξε,
would-be — even this your word silver-bowed
εἰ δὴ ὁμὴν Ἀχιλῆϊ καὶ Ἕκτορι θήσετε τιμήν.
if indeed equal to-Achilles and Hector you-will-grant honor
Ἕκτωρ μὲν θνητός τε γυναῖκά τε θήσατο μαζόν·
Hector indeed mortal both a-woman and sucked breast
αὐτὰρ Ἀχιλλεύς ἐστι θεᾶς γόνος, ἣν ἐγὼ αὐτὴ
but Achilles is of-a-goddess offspring whom I myself
θρέψά τε καὶ ἀτίτηλα καὶ ἀνδρὶ πόρον παράκοιτιν
reared both and nursed and to-a-man gave as-wife
Πηλέϊ, ὃς περὶ κῆρι φίλος γένετ' ἀθανάτοισι.
to-Peleus who exceedingly in-heart dear was to-the-immortals
πάντες δ' ἀντιάασθε, θεοί, γάμου· ἐν δὲ σὺ τοῖσι
all and attended gods the-wedding among and you them
δαίνυ' ἔχων φόρμιγγα, κακῶν ἕταρ', αἰὲν ἄπιστε."
feasted having lyre of-evil-ones companion always faithless
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Her and answering addressed cloud-gatherer Zeus
" Ἥρη, μὴ δὴ πάμπαν ἀποσκύδμαινε θεοῖσιν·
Hera not indeed altogether be-angry with-the-gods
οὐ μὲν γὰρ τιμή γε μί' ἔσσεται· ἀλλὰ καὶ Ἕκτωρ
not indeed for honor indeed one will-be but also Hector
φίλτατος ἔσκε θεοῖσι βροτῶν οἳ ἐν Ἰλίῳ εἰσίν·
dearest was to-the-gods of-mortals who in Ilium are
ὣς γὰρ ἔμοιγ', ἐπεὶ οὔ τι φίλων ἡμάρτανε δώρων.
so for to-me since not at-all of-dear he-failed gifts

οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης
not for my ever altar lacked of-feast equal
λοιβῆς τε κνίσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.
of-libation both of-savor and this for we-received as-prize we
ἀλλ᾽ ἤτοι κλέψαι μὲν ἐάσομεν — οὐδέ πῃ ἔστι —
but truly to-steal indeed we-will-leave nor anyhow it-is-possible
λάθρῃ Ἀχιλλῆος θρασὺν Ἕκτορα· ἦ γάρ οἱ αἰεὶ
secretly of-Achilles bold Hector truly for to-him always
μήτηρ παρμέμβλωκεν ὁμῶς νύκτας τε καὶ ἦμαρ.
mother is-beside alike nights both and day
ἀλλ᾽ εἴ τις καλέσειε θεῶν Θέτιν ἆσσον ἐμεῖο,
but if someone would-call of-gods Thetis near me
ὄφρα τί οἱ εἴπω πυκινὸν ἔπος, ὥς κεν Ἀχιλλεὺς
that something to-her I-may-say shrewd word so-that — Achilles
δώρων ἐκ Πριάμοιο λάχῃ ἀπό θ᾽ Ἕκτορα λύσῃ."
gifts from Priam may-accept off and Hector release

XXIV.2 · IRIS GOES TO PRIAM

Iris brings Thetis to Olympus. Zeus tells her that she must persuade Achilles to accept ransom, and that he will send Iris to Priam. Achilles consents. Iris comes to Priam, who sits covered in dung among his weeping sons, and tells him to go alone with one herald to Achilles, with Hermes as his escort.

Ὣς ἔφατ᾽, ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα,
So he-spoke rose and Iris storm-footed to-take-the-message
μεσσηγὺς δὲ Σάμου τε καὶ Ἴμβρου παιπαλοέσσης
midway and Samos both and Imbros rugged
ἔνθορε μείλανι πόντῳ· ἐπεστονάχησε δὲ λίμνη.
she-leapt-into the-black sea groaned-over and the-water

ἡ δὲ μολυβδαίνῃ ἰκέλη ἐς βυσσὸν ὄρουσεν,
she and to-a-lead-weight like to the-depth sped
ἥ τε κατ᾽ ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα
which — down of-a-field ox horn fixed-in
ἔρχεται ὠμηστῇσιν ἐπ᾽ ἰχθύσι κῆρα φέρουσα.
goes raw-eating to fishes doom bearing
εὗρε δ᾽ ἐνὶ σπῆϊ γλαφυρῷ Θέτιν, ἀμφὶ δ᾽ ἄρ᾽ ἄλλαι
she-found and in cave hollow Thetis around and then others
ἥαθ᾽ ὁμηγερέες ἅλιαι θεαί· ἡ δ᾽ ἐνὶ μέσσῃς
sat gathered sea goddesses she and in middle
κλαῖε μόρον οὗ παιδὸς ἀμύμονος, ὅς οἱ ἔμελλε
wept the-fate of-her son blameless who to-her was-about
φθίσεσθ᾽ ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης.
to-perish in Troy deep-soiled far-from fatherland
ἀγχοῦ δ᾽ ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·
near and standing addressed in-feet swift Iris
“ὄρσο, Θέτι· καλέει Ζεὺς ἄφθιτα μήδεα εἰδώς.”
rise Thetis calls Zeus imperishable counsels knowing
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
her and answered then the-goddess Thetis silver-footed
“τίπτε με κεῖνος ἄνωγε μέγας θεός; αἰδέομαι δὲ
why me he bids great god I-feel-shame and
μίσγεσθ᾽ ἀθανάτοισιν, ἔχω δ᾽ ἄχε᾽ ἄκριτα θυμῷ.
to-mingle with-the-immortals I-have and griefs countless in-heart
εἶμι μέν, οὐδ᾽ ἅλιον ἔπος ἔσσεται, ὅττι κεν εἴπῃ.”
I-go indeed nor vain the-word will-be whatever — he-says
Ὣς ἄρα φωνήσασα κάλυμμ᾽ ἕλε δῖα θεάων
So then having-spoken veil took bright of-goddesses
κυάνεον, τοῦ δ᾽ οὔ τι μελάντερον ἔπλετο ἕσθος.
dark of-it and not at-all blacker was garment

βῆ δ' ἰέναι, πρόσθεν δὲ ποδήνεμος ὠκέα Ἶρις
went and to-go in-front and wind-footed swift Iris
ἡγεῖτ'· ἀμφὶ δ' ἄρα σφι λιάζετο κῦμα θαλάσσης.
led around and then them parted the-wave of-the-sea
ἀκτὴν δ' ἐξαναβᾶσαι ἐς οὐρανὸν ἀϊχθήτην,
the-shore and having-gone-up to heaven they-sped
εὗρον δ' εὐρύοπα Κρονίδην, περὶ δ' ἄλλοι ἅπαντες
they-found and far-seeing the-son-of-Cronus around and others all
ἥαθ' ὁμηγερέες μάκαρες θεοὶ αἰὲν ἐόντες.
sat gathered blessed gods always being
ἡ δ' ἄρα πὰρ Διὶ πατρὶ καθέζετο, εἶξε δ' Ἀθήνη.
she and then beside Zeus father sat yielded and Athena
Ἥρη δὲ χρύσεον καλὸν δέπας ἐν χερὶ θῆκε
Hera and golden fair cup in hand placed
καί ῥ' εὔφρην' ἐπέεσσι· Θέτις δ' ὤρεξε πιοῦσα.
and then cheered(-her) with-words Thetis and handed-back having-drunk
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
among-them and of-words began the-father of-men both of-gods and
"ἤλυθες Οὔλυμπόνδε, θεὰ Θέτι, κηδομένη περ,
you-have-come to-Olympus goddess Thetis grieving though
πένθος ἄλαστον ἔχουσα μετὰ φρεσίν· οἶδα καὶ αὐτός·
grief unforgettable having in mind I-know also myself
ἀλλὰ καὶ ὣς ἐρέω τοῦ σ' εἵνεκα δεῦρο κάλεσσα.
but even so I-will-tell which you because-of hither I-called
ἐννῆμαρ δὴ νεῖκος ἐν ἀθανάτοισιν ὄρωρεν
nine-days indeed strife among the-immortals has-arisen
Ἕκτορος ἀμφὶ νέκυι καὶ Ἀχιλλῆϊ πτολιπόρθῳ·
of-Hector about the-corpse and Achilles sacker-of-cities
κλέψαι δ' ὀτρύνουσιν ἐΰσκοπον Ἀργειφόντην·
to-steal(-him) and they-urge keen-sighted Argus-slayer

αὐτὰρ ἐγὼ τόδε κῦδος Ἀχιλλῆϊ προτιάπτω,
but I this glory to-Achilles grant
αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων.
respect and friendship your hereafter keeping
αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ καὶ υἱέϊ σῷ ἐπίτειλον·
quickly very to the-host go and to-son your enjoin
σκύζεσθαί οἱ εἰπὲ θεούς, ἐμὲ δ' ἔξοχα πάντων
to-be-angry with-him say the-gods me and above all
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
of-the-immortals to-be-enraged that with-mind raging
Ἕκτορ' ἔχει παρὰ νηυσὶ κορωνίσιν οὐδ' ἀπέλυσεν,
Hector he-keeps by ships beaked nor released(-him)
αἴ κέν πως ἐμέ τε δείσῃ ἀπό θ' Ἕκτορα λύσῃ.
if — somehow me both he-fear off and Hector release
αὐτὰρ ἐγὼ Πριάμῳ μεγαλήτορι Ἶριν ἐφήσω
but I to-Priam great-hearted Iris will-send
λύσασθαι φίλον υἱόν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
to-ransom dear son going to the-ships of-the-Achaeans
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ."
gifts and to-Achilles to-carry which — heart may-warm
Ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ Θέτις ἀργυρόπεζα,
So he-spoke nor disobeyed the-goddess Thetis silver-footed
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα,
went and down of-Olympus the-peaks having-darted
ἷξεν δ' ἐς κλισίην οὗ υἱέος· ἔνθ' ἄρα τόν γε
came and to the-hut of-her son there then him indeed
εὗρ' ἀδινὰ στενάχοντα· φίλοι δ' ἀμφ' αὐτὸν ἑταῖροι
found vehemently groaning dear and around him comrades
ἐσσυμένως ἐπένοντο καὶ ἐντύνοντ' ἄριστον·
eagerly busied and prepared breakfast

τοῖσι δ᾽ ὄϊς λάσιος μέγας ἐν κλισίῃ ἱέρευτο.
for-them and a-sheep shaggy great in the-hut had-been-slaughtered
ἡ δὲ μάλ᾽ ἄγχ᾽ αὐτοῖο καθέζετο πότνια μήτηρ,
she and very near him sat queenly mother
χειρί τέ μιν κατέρεξεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
with-hand both him stroked word and spoke out and named(-him)
"τέκνον ἐμόν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων
child my how long lamenting and grieving
σὴν ἔδεαι κραδίην, μεμνημένος οὔτε τι σίτου
your will-you-eat heart remembering nor at-all of-food
οὔτ᾽ εὐνῆς; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
nor of-bed good and with-a-woman though in love
μίσγεσθ᾽· οὐ γάρ μοι δηρὸν βέῃ, ἀλλά τοι ἤδη
to-mingle not for to-me long you-will-live but you-know already
ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή.
near stands death and fate mighty
ἀλλ᾽ ἐμέθεν ξύνες ὦκα, Διὸς δέ τοι ἄγγελός εἰμι·
but from-me understand quickly of-Zeus and you-know messenger I-am
σκύζεσθαι σοί φησι θεούς, ἐὲ δ᾽ ἔξοχα πάντων
to-be-angry with-you he-says the-gods himself and above all
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
of-the-immortals to-be-enraged that with-mind raging
Ἕκτορ᾽ ἔχεις παρὰ νηυσὶ κορωνίσιν οὐδ᾽ ἀπέλυσας.
Hector you-keep by ships beaked nor released(-him)
ἀλλ᾽ ἄγε δὴ λῦσον, νεκροῖο δὲ δέξαι ἄποινα."
but come indeed release(-him) of-the-corpse and accept ransom

Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Her and answering addressed in-feet swift Achilles
"τῇδ' εἴη· ὃς ἄποινα φέροι καὶ νεκρὸν ἄγοιτο,
so be-it who ransom may-bring and the-corpse may-take
εἰ δὴ πρόφρονι θυμῷ Ὀλύμπιος αὐτὸς ἀνώγει." 140
if indeed with-earnest heart the-Olympian himself bids
Ὣς οἵ γ' ἐν νηῶν ἀγύρει μήτηρ τε καὶ υἱὸς
So they indeed in of-the-ships the-gathering mother both and son
πολλὰ πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον.
many to each-other words winged spoke
Ἶριν δ' ὄτρυνε Κρονίδης εἰς Ἴλιον ἱρήν·
Iris and urged the-son-of-Cronus to Ilium holy
"βάσκ' ἴθι, Ἶρι ταχεῖα, λιποῦσ' ἕδος Οὐλύμποιο
up go Iris swift having-left the-seat of-Olympus
ἄγγειλον Πριάμῳ μεγαλήτορι Ἴλιον εἴσω 145
announce to-Priam great-hearted Ilium within
λύσασθαι φίλον υἱὸν ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
to-ransom dear son going to the-ships of-the-Achaeans
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ,
gifts and to-Achilles to-carry which — heart may-warm
οἷον, μηδέ τις ἄλλος ἅμα Τρώων ἵτω ἀνήρ.
alone nor any other with of-the-Trojans let-go man
κῆρύξ τίς οἱ ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι
a-herald some him may-follow older who — may-guide
ἡμιόνους καὶ ἄμαξαν ἐΰτροχον, ἠδὲ καὶ αὖτις 150
the-mules and wagon well-wheeled and also back
νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
the-corpse may-bring to the-town whom killed noble Achilles
μηδέ τί οἱ θάνατος μελέτω φρεσὶ μηδέ τι τάρβος·
nor at-all to-him death let-be-a-care in-mind nor any fear

τοῖον γάρ οἱ πομπὸν ὀπάσσομεν Ἀργειφόντην,
such for to-him escort we-will-grant the-Argus-slayer
ὃς ἄξει ἧος κεν ἄγων Ἀχιλῆϊ πελάσσῃ.
who will-lead until — leading to-Achilles he-bring(-him)
αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,
but when he-has-led within the-hut of-Achilles
οὔτ' αὐτὸς κτενέει ἀπό τ' ἄλλους πάντας ἐρύξει·
neither himself will-kill off and others all will-keep
οὔτε γάρ ἐστ' ἄφρων οὔτ' ἄσκοπος οὔτ' ἀλιτήμων,
neither for he-is senseless nor heedless nor sinful
ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός."
but very kindly a-suppliant will-spare man
Ὣς ἔφατ', ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα.
So he-spoke rose and Iris storm-footed to-take-the-message
ἶξεν δ' ἐς Πριάμοιο, κίχεν δ' ἐνοπήν τε γόον τε.
she-came and to of-Priam found and outcry both lament and
παῖδες μὲν πατέρ' ἀμφὶ καθήμενοι ἔνδοθεν αὐλῆς
the-sons indeed father around sitting within the-courtyard
δάκρυσιν εἵματ' ἔφυρον, ὁ δ' ἐν μέσσοισι γεραιὸς
with-tears garments were-soaking he and in middle the-old-man
ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος· ἀμφὶ δὲ πολλὴ
closely in cloak wrapped around and much
κόπρος ἔην κεφαλῇ τε καὶ αὐχένι τοῖο γέροντος
dung was on-head both and neck of-the old-man
τήν ῥα κυλινδόμενος καταμήσατο χερσὶν ἑῇσι.
which then rolling he-had-heaped with-hands his-own
θυγατέρες δ' ἀνὰ δώματ' ἰδὲ νυοὶ ὠδύροντο,
the-daughters and through the-house and daughters-in-law wailed

τῶν μιμνησκόμεναι οἳ δὴ πολέες τε καὶ ἐσθλοὶ
them remembering who indeed many both and good
χερσὶν ὑπ᾽ Ἀργείων κέατο ψυχὰς ὀλέσαντες.
hands at of-the-Argives lay lives having-lost
στῆ δὲ παρὰ Πρίαμον Διὸς ἄγγελος, ἠδὲ προσηύδα
she-stood and by Priam of-Zeus messenger and addressed(-him)
τυτθὸν φθεγξαμένη· τὸν δὲ τρόμος ἔλλαβε γυῖα·
softly speaking him and trembling seized limbs
"θάρσει, Δαρδανίδη Πρίαμε, φρεσί, μηδέ τι τάρβει·
take-heart son-of-Dardanus Priam in-mind nor at-all fear
οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ᾽ ἱκάνω,
not indeed for to-you I evil foreboding here come
ἀλλ᾽ ἀγαθὰ φρονέουσα· Διὸς δέ τοι ἄγγελός εἰμι,
but good intending of-Zeus and you-know messenger I-am
ὅς σευ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ᾽ ἐλεαίρει.
who you far-off being greatly cares-for and pities
λύσασθαί σε κέλευσεν Ὀλύμπιος Ἕκτορα δῖον,
to-ransom you bade the-Olympian Hector noble
δῶρα δ᾽ Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ,
gifts and to-Achilles to-carry which — heart may-warm
οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἵτω ἀνήρ.
alone nor any other with of-the-Trojans let-go man
κῆρύξ τίς τοι ἕποιτο γεραίτερος, ὅς κ᾽ ἰθύνοι
a-herald some you may-follow older who — may-guide
ἡμιόνους καὶ ἄμαξαν ἐϋτροχον, ἠδὲ καὶ αὖτις
the-mules and wagon well-wheeled and also back
νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
the-corpse may-bring to the-town whom killed noble Achilles
μηδέ τί τοι θάνατος μελέτω φρεσὶ μηδέ τι τάρβος·
nor at-all to-you death let-be-a-care in-mind nor any fear

τοῖος γάρ τοι πομπὸς ἅμ' ἕψεται Ἀργειφόντης,
such for to-you escort with will-follow the-Argus-slayer
ὅς σ' ἄξει ἧος κεν ἄγων Ἀχιλῆϊ πελάσσῃ.
who you will-lead until — leading to-Achilles he-bring(-you)
αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,
but when he-has-led within the-hut of-Achilles
185 οὔτ' αὐτὸς κτενέει ἀπό τ' ἄλλους πάντας ἐρύξει·
neither himself will-kill off and others all will-keep
οὔτε γάρ ἐστ' ἄφρων οὔτ' ἄσκοπος οὔτ' ἀλιτήμων,
neither for he-is senseless nor heedless nor sinful
ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός."
but very kindly a-suppliant will-spare man

XXIV.3 · PRIAM PREPARES

Priam tells Hecuba he will go, and she cries out that Achilles is savage and will not pity him, and wishes she could eat Achilles' liver. Priam answers that he heard the god himself. He takes out robes, cloaks, gold, tripods, cauldrons, and a precious Thracian cup, drives the Trojans from the portico, and rebukes his remaining sons as liars and dancers. They load the wagon. Hecuba brings wine and tells him to pray for an omen; Priam prays to Zeus, and an eagle flies on the right over the city.

Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις,
She indeed then so having-spoken went-away in-feet swift Iris
αὐτὰρ ὅ γ' υἷας ἄμαξαν ἐΰτροχον ἡμιονείην
but he indeed the-sons a-wagon well-wheeled mule-drawn
190 ὁπλίσαι ἠνώγει, πείρινθα δὲ δῆσαι ἐπ' αὐτῆς.
to-make-ready bade the-wicker-body and to-bind on it

αὐτὸς δ᾽ ἐς θάλαμον κατεβήσετο κηώεντα
himself and into the-chamber went-down fragrant
κέδρινον ὑψόροφον, ὃς γλήνεα πολλὰ κεχάνδει·
of-cedar high-roofed which treasures many held
ἐς δ᾽ ἄλοχον Ἑκάβην ἐκαλέσσατο φώνησέν τε·
in and wife Hecuba he-called spoke and
"δαιμονίη, Διόθεν μοι Ὀλύμπιος ἄγγελος ἦλθε
strange-one from-Zeus to-me an-Olympian messenger came
λύσασθαι φίλον υἱὸν ἰόντ᾽ ἐπὶ νῆας Ἀχαιῶν,
to-ransom dear son going to the-ships of-the-Achaeans
δῶρα δ᾽ Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ.
gifts and to-Achilles to-carry which — heart may-warm
ἀλλ᾽ ἄγε μοι τόδε εἰπέ, τί τοι φρεσὶν εἴδεται εἶναι;
but come to-me this tell what to-you in-mind seems to-be
αἰνῶς γάρ μ᾽ αὐτόν γε μένος καὶ θυμὸς ἄνωγε
terribly for me myself indeed strength and heart bids
κεῖσ᾽ ἰέναι ἐπὶ νῆας ἔσω στρατὸν εὐρὺν Ἀχαιῶν."
thither to-go to the-ships within the-host wide of-the-Achaeans
Ὣς φάτο, κώκυσεν δὲ γυνὴ καὶ ἀμείβετο μύθῳ·
So he-spoke shrieked and the-woman and answered with-word
"ὤ μοι, πῇ δή τοι φρένες οἴχονθ᾽, ἧς τὸ πάρος περ
ah me where indeed your wits have-gone for-which the before indeed
ἔκλε᾽ ἐπ᾽ ἀνθρώπους ξείνους ἠδ᾽ οἷσιν ἀνάσσεις;
you-were-famed among men strangers and whom you-rule
πῶς ἐθέλεις ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἷος,
how do-you-wish to the-ships of-the-Achaeans to-go alone
ἀνδρὸς ἐς ὀφθαλμοὺς ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
of-the-man into the-eyes who your many both and good
υἱέας ἐξενάριξε· σιδήρειόν νύ τοι ἦτορ.
sons slew iron now your heart

εἰ γάρ σ' αἱρήσει καὶ ἐσόψεται ὀφθαλμοῖσιν,
if for you he-takes and sees with-eyes
ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ὅ γε, οὔ σ' ἐλεήσει,
raw-eating and faithless man he indeed not you will-pity
οὐδέ τί σ' αἰδέσεται. νῦν δὲ κλαίωμεν ἄνευθεν
nor at-all you will-respect now and let-us-weep apart
ἥμενοι ἐν μεγάρῳ· τῷ δ' ὥς ποθι Μοῖρα κραταιὴ
sitting in the-hall for-him and so somewhere Fate mighty
γιγνομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκον αὐτή,
as-he-was-born spun with-thread when him I-bore myself
ἀργίποδας κύνας ἅσαι ἑῶν ἀπάνευθε τοκήων
swift-footed dogs to-glut his apart-from parents
ἀνδρὶ πάρα κρατερῷ, τοῦ ἐγὼ μέσον ἦπαρ ἔχοιμι
a-man beside mighty of-whom I middle liver would-that-I-might
ἐσθέμεναι προσφῦσα· τότ' ἂν τιτὰ ἔργα γένοιτο
eat clinging then — requited deeds would-be
παιδὸς ἐμοῦ, ἐπεὶ οὔ έ κακιζόμενόν γε κατέκτα,
for-son my since not him playing-the-coward indeed he-killed
ἀλλὰ πρὸ Τρώων καὶ Τρωϊάδων βαθυκόλπων
but before the-Trojans and Trojan-women deep-bosomed
ἑσταότ', οὔτε φόβου μεμνημένον οὔτ' ἀλεωρῆς."
standing neither of-flight mindful nor of-shelter
Τὴν δ' αὖτε προσέειπε γέρων Πρίαμος θεοειδής·
Her and in-turn addressed old-man Priam godlike
"μή μ' ἐθέλοντ' ἰέναι κατερύκανε, μηδέ μοι αὐτὴ
not me wishing to-go hold-back nor to-me yourself
ὄρνις ἐνὶ μεγάροισι κακὸς πέλε· οὐδέ με πείσεις.
a-bird in halls evil be nor me will-you-persuade
εἰ μὲν γάρ τίς μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν,
if indeed for some me other of-those-on-earth bade

ἢ οἳ μάντιες εἰσι θυοσκόοι ἢ ἱερῆες,
either who seers are diviners-by-sacrifice or priests
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·
a-lie — we-would-call(-it) and would-turn-away rather
νῦν δ' αὐτὸς γὰρ ἄκουσα θεοῦ καὶ ἐσέδρακον ἄντην,
now but myself for I-heard the-god and looked-on face-to-face
εἶμι, καὶ οὐχ ἅλιον ἔπος ἔσσεται. εἰ δέ μοι αἶσα
I-go and not vain the-word will-be if and to-me fate
τεθνάμεναι παρὰ νηυσὶν Ἀχαιῶν χαλκοχιτώνων
to-die beside the-ships of-the-Achaeans bronze-coated
βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεὺς
I-wish at-once for me may-kill Achilles
ἀγκὰς ἑλόντ' ἐμὸν υἱόν, ἐπὴν γόου ἐξ ἔρον εἵην."
in-arms having-taken my son when of-lament out desire I-have-put
Ἦ, καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνέῳγεν·
He-spoke and of-chests the-lids fair opened
ἔνθεν δώδεκα μὲν περικαλλέας ἔξελε πέπλους,
thence twelve indeed very-fair he-took-out robes
δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
twelve and single cloaks so-many and rugs
τόσσα δὲ φάρεα λευκά, τόσους δ' ἐπὶ τοῖσι χιτῶνας.
so-many and mantles white so-many and on these tunics
χρυσοῦ δὲ στήσας ἔφερεν δέκα πάντα τάλαντα,
of-gold and weighing he-carried ten all talents
ἐκ δὲ δύ' αἴθωνας τρίποδας, πίσυρας δὲ λέβητας,
out and two gleaming tripods four and cauldrons

ἐκ δὲ δέπας περικαλλές, ὅ οἱ Θρῆκες πόρον ἄνδρες
out and a-cup very-fair which to-him Thracians gave men
ἐξεσίην ἐλθόντι, μέγα κτέρας· οὐδέ νυ τοῦ περ
on-an-embassy having-gone great possession nor now this though
φείσατ' ἐνὶ μεγάροις ὁ γέρων, περὶ δ' ἤθελε θυμῷ
spared in the-halls the old-man exceedingly and wished in-heart
λύσασθαι φίλον υἱόν. ὁ δὲ Τρῶας μὲν ἅπαντας
to-ransom dear son he and the-Trojans indeed all
αἰθούσης ἀπέεργεν ἔπεσσ' αἰσχροῖσιν ἐνίσσων·
from-the-portico kept-off with-words shameful assailing
"ἔρρετε, λωβητῆρες ἐλεγχέες· οὔ νυ καὶ ὑμῖν
begone wretches disgraceful not now also for-you
οἶκοι ἔνεστι γόος, ὅτι μ' ἤλθετε κηδήσοντες;
at-home is lament that me you-came to-vex
ἦ ὀνόσασθ' ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε' ἔδωκε,
or do-you-make-light that to-me the-son-of-Cronus Zeus pains has-given
παῖδ' ὀλέσαι τὸν ἄριστον; ἀτὰρ γνώσεσθε καὶ ὔμμες·
son to-lose the best but you-will-know also you
ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσιν δὴ ἔσεσθε
easier for rather for-the-Achaeans indeed you-will-be
κείνου τεθνηῶτος ἐναιρέμεν. αὐτὰρ ἔγωγε
he having-died to-slay but I-indeed
πρὶν ἀλαπαζομένην τε πόλιν κεραϊζομένην τε
before being-sacked both city ravaged and
ὀφθαλμοῖσιν ἰδεῖν, βαίην δόμον Ἄϊδος εἴσω."
with-eyes to-see may-I-go the-house of-Hades within
Ἦ, καὶ σκηπανίῳ δίεπ' ἀνέρας· οἱ δ' ἴσαν ἔξω
He-spoke and with-staff went-after the-men they and went out
σπερχομένοιο γέροντος· ὁ δ' υἱάσιν οἷσιν ὁμόκλα,
hastening the-old-man he and to-sons his called

νεικείων Ἕλενόν τε Πάριν τ' Ἀγάθωνά τε δῖον
reviling Helenus both Paris and Agathon and noble
Πάμμονά τ' Ἀντίφονόν τε βοὴν ἀγαθόν τε Πολίτην
Pammon and Antiphonus both at-the-war-cry good and Polites
Δηΐφοβόν τε καὶ Ἱππόθοον καὶ δῖον ἀγαυόν·
Deiphobus both and Hippothous and noble lordly
ἐννέα τοῖς ὁ γεραιὸς ὁμοκλήσας ἐκέλευε·
nine to-these the old-man calling-out bade
"σπεύσατέ μοι, κακὰ τέκνα, κατηφόνες· αἴθ' ἅμα πάντες
hurry for-me evil children shameful would-that together all
Ἕκτορος ὠφέλετ' ἀντὶ θοῆς ἐπὶ νηυσὶ πεφάσθαι.
Hector you-had instead swift at ships been-slain
ὤ μοι ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
ah me I all-unfortunate since I-begot sons best
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' οὔ τινά φημι λελεῖφθαι,
Troy in wide of-them but not any I-say to-be-left
Μήστορά τ' ἀντίθεον καὶ Τρωΐλον ἱππιοχάρμην
Mestor both godlike and Troilus horse-fighter
Ἕκτορά θ', ὃς θεὸς ἔσκε μετ' ἀνδράσιν, οὐδὲ ἐώκει
Hector and who a-god was among men nor seemed
ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο.
of-a-man indeed mortal child to-be but of-a-god
τοὺς μὲν ἀπώλεσ' Ἄρης, τὰ δ' ἐλέγχεα πάντα λέλειπται,
them indeed has-destroyed Ares the and disgraces all are-left
ψεῦσταί τ' ὀρχησταί τε, χοροιτυπίῃσιν ἄριστοι,
liars both dancers and in-the-dance-beat best
ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.
of-lambs and of-kids among-the-people robbers

οὐκ ἂν δή μοι ἅμαξαν ἐφοπλίσσαιτε τάχιστα,
not — indeed for-me a-wagon would-you-make-ready quickest
ταῦτά τε πάντ᾽ ἐπιθεῖτε, ἵνα πρήσσωμεν ὁδοῖο;᾽᾽
these-things and all put-on that we-may-make the-way
Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πατρὸς ὑποδείσαντες ὁμοκλὴν
So he-spoke they and then of-their-father fearing the-rebuke
ἐκ μὲν ἅμαξαν ἄειραν ἐϋτροχον ἡμιονείην
out indeed the-wagon lifted well-wheeled mule-drawn
καλὴν πρωτοπαγέα, πείρινθα δὲ δῆσαν ἐπ᾽ αὐτῆς,
fair new-made the-wicker-body and bound on it
κὰδ δ᾽ ἀπὸ πασσαλόφι ζυγὸν ᾕρεον ἡμιόνειον
down and from the-peg the-yoke they-took mule
πύξινον ὀμφαλόεν, εὖ οἰήκεσσιν ἀρηρός·
of-boxwood bossed well with-guide-rings fitted
ἐκ δ᾽ ἔφερον ζυγόδεσμον ἅμα ζυγῷ ἐννεάπηχυ.
out and they-carried the-yoke-band together-with the-yoke nine-cubits-long
καὶ τὸ μὲν εὖ κατέθηκαν ἐϋξέστῳ ἐπὶ ῥυμῷ,
and it indeed well they-laid-down well-polished on the-pole
πέζῃ ἔπι πρώτῃ, ἐπὶ δὲ κρίκον ἔστορι βάλλον,
the-tip at foremost on and the-ring on-the-peg they-threw
τρὶς δ᾽ ἑκάτερθεν ἔδησαν ἐπ᾽ ὀμφαλόν, αὐτὰρ ἔπειτα
thrice and on-either-side they-bound on the-boss but then
ἑξείης κατέδησαν, ὑπὸ γλωχῖνα δ᾽ ἔκαμψαν.
in-a-row bound-down under the-tongue and they-turned
ἐκ θαλάμου δὲ φέροντες ἐϋξέστης ἐπ᾽ ἀπήνης
from the-chamber and carrying well-polished on the-wagon
νήεον Ἕκτορέης κεφαλῆς ἀπερείσι᾽ ἄποινα,
heaped of-Hector's head boundless ransom
ζεῦξαν δ᾽ ἡμιόνους κρατερώνυχας ἐντεσιεργούς,
they-yoked and mules strong-hoofed harness-working

τούς ῥά ποτε Πριάμῳ Μυσοὶ δόσαν ἀγλαὰ δῶρα.
which then once to-Priam the-Mysians gave glorious gifts
ἵππους δὲ Πριάμῳ ὕπαγον ζυγόν, οὓς ὁ γεραιὸς
horses and for-Priam they-led-under the-yoke which the old-man
αὐτὸς ἔχων ἀτίταλλεν ἐϋξέστῃ ἐπὶ φάτνῃ.
himself keeping tended well-polished at the-manger
Τὼ μὲν ζευγνύσθην ἐν δώμασιν ὑψηλοῖσι
The-two indeed were-yoking in the-house high
κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες·
herald and Priam shrewd in-mind counsels having
ἀγχίμολον δέ σφ' ἦλθ' Ἑκάβη τετιηότι θυμῷ,
near and to-them came Hecuba with-troubled heart
οἶνον ἔχουσ' ἐν χειρὶ μελίφρονα δεξιτερῇφι
wine holding in hand honey-sweet in-the-right
χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην·
golden in cup so-that having-poured-libation they-two-might-go
στῆ δ' ἵππων προπάροιθεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
she-stood and the-horses in-front-of word and spoke out and named(-him)
"τῇ, σπεῖσον Διὶ πατρί, καὶ εὔχεο οἴκαδ' ἱκέσθαι
here pour-libation to-Zeus father and pray home to-come
ἂψ ἐκ δυσμενέων ἀνδρῶν, ἐπεὶ ἦ ῥα σέ γε θυμὸς
back from hostile men since then you indeed heart
ὀτρύνει ἐπὶ νῆας, ἐμεῖο μὲν οὐκ ἐθελούσης.
urges to the-ships me indeed not willing
ἀλλ' εὔχεο σύ γ' ἔπειτα κελαινεφέϊ Κρονίωνι
but pray you indeed then to-the-dark-clouded son-of-Cronus
Ἰδαίῳ, ὅς τε Τροίην κατὰ πᾶσαν ὁρᾶται,
of-Ida who — Troy over all looks

αἴτει δ' οἰωνόν, ταχὺν ἄγγελον, ὅς τέ οἱ αὐτῷ
ask and a-bird swift messenger which — to-him himself
φίλτατος οἰωνῶν, καί εὐ κράτος ἐστὶ μέγιστον,
dearest of-birds and his strength is greatest
δεξιόν, ὄφρα μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας
on-the-right that him yourself with eyes having-noticed
τῷ πίσυνος ἐπὶ νῆας ἴῃς Δαναῶν ταχυπώλων.
in-it trusting to the-ships you-may-go of-the-Danaans of-swift-horses
εἰ δέ τοι οὐ δώσει ἑὸν ἄγγελον εὐρύοπα Ζεύς,
if but to-you not will-give his messenger far-seeing Zeus
οὐκ ἂν ἔγωγέ σ' ἔπειτα ἐποτρύνουσα κελοίμην
not — I-indeed you then urging would-bid
νῆας ἐπ' Ἀργείων ἰέναι μάλα περ μεμαῶτα."
ships to of-the-Argives to-go very though eager
Τὴν δ' ἀπαμειβόμενος προσέφη Πρίαμος θεοειδής·
Her and answering addressed Priam godlike
"ὦ γύναι, οὐ μέν τοι τόδ' ἐφιεμένῃ ἀπιθήσω·
O wife not indeed to-you this enjoining I-will-disobey
ἐσθλὸν γὰρ Διὶ χεῖρας ἀνασχέμεν, αἴ κ' ἐλεήσῃ."
good for to-Zeus hands to-lift-up if — he-may-pity
Ἦ ῥα, καὶ ἀμφίπολον ταμίην ὄτρυν' ὁ γεραιὸς
He-spoke then and the-handmaid housekeeper urged the old-man
χερσὶν ὕδωρ ἐπιχεῦαι ἀκήρατον· ἡ δὲ παρέστη
on-hands water to-pour pure she and stood-by
χέρνιβον ἀμφίπολος πρόχοόν θ' ἅμα χερσὶν ἔχουσα.
a-basin the-handmaid jug and together in-hands holding
νιψάμενος δὲ κύπελλον ἐδέξατο ἧς ἀλόχοιο·
having-washed and the-cup he-received of-his wife

εὔχετ᾽ ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λείβε δὲ οἶνον
he-prayed then standing middle in-courtyard poured and wine
οὐρανὸν εἰσανιδών, καὶ φωνήσας ἔπος ηὔδα·
heaven looking-up-to and having-spoken word said
"Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε,
Zeus father from-Ida ruling most-glorious greatest
δός μ᾽ ἐς Ἀχιλλῆος φίλον ἐλθεῖν ἠδ᾽ ἐλεεινόν,
grant me to of-Achilles dear to-come and pitiable
πέμψον δ᾽ οἰωνόν, ταχὺν ἄγγελον, ὅς τε σοὶ αὐτῷ 310
send and a-bird swift messenger which — to-you yourself
φίλτατος οἰωνῶν, καί εὐ κράτος ἐστὶ μέγιστον,
dearest of-birds and his strength is greatest
δεξιόν, ὄφρα μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας
on-the-right that him myself with eyes having-noticed
τῷ πίσυνος ἐπὶ νῆας ἴω Δαναῶν ταχυπώλων."
in-it trusting to the-ships I-may-go of-the-Danaans of-swift-horses
Ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε μητίετα Ζεύς,
So he-spoke praying him and heard counselor Zeus
αὐτίκα δ᾽ αἰετὸν ἧκε, τελειότατον πετεηνῶν 315
at-once and an-eagle he-sent most-sure-in-omen of-winged-birds
μόρφνον θηρητῆρ᾽, ὃν καὶ περκνὸν καλέουσιν.
dusky hunter which also dark they-call
ὅσση δ᾽ ὑψορόφοιο θύρη θαλάμοιο τέτυκται
as-wide-as and of-high-roofed the-door chamber is-made
ἀνέρος ἀφνειοῖο, ἐΰ κληῖσ᾽ ἀραρυῖα,
of-a-man wealthy well with-bolts fitted

τόσσ᾽ ἄρα τοῦ ἑκάτερθεν ἔσαν πτερά· εἴσατο δέ σφι
so-wide then of-it on-either-side were the-wings it-appeared and to-them
δεξιὸς ἀΐξας διὰ ἄστεος· οἱ δὲ ἰδόντες
on-the-right darting through the-town they and seeing
γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
rejoiced and of-all in mind heart was-warmed

XXIV.4 · HERMES GUIDES PRIAM

Priam and the herald Idaeus drive out of the city. Zeus sends Hermes, who meets them in the form of a young prince and says he is a Myrmidon, and that Hector's body lies unharmed. He drives the wagon, puts the guards to sleep, and opens the gates. At Achilles' hut he reveals himself and goes back.

Σπερχόμενος δ᾽ ὁ γεραιὸς ἑοῦ ἐπιβήσετο δίφρου,
Hastening and the old-man his-own mounted chariot
ἐκ δ᾽ ἔλασε προθύροιο καὶ αἰθούσης ἐριδούπου.
out and drove from-the-gateway and portico echoing
πρόσθε μὲν ἡμίονοι ἕλκον τετράκυκλον ἀπήνην,
in-front indeed the-mules drew four-wheeled wagon
τὰς Ἰδαῖος ἔλαυνε δαΐφρων· αὐτὰρ ὄπισθεν
which Idaeus drove wise but behind
ἵπποι, τοὺς ὁ γέρων ἐφέπων μάστιγι κέλευε
the-horses which the old-man pressing with-whip urged
καρπαλίμως κατὰ ἄστυ· φίλοι δ᾽ ἅμα πάντες ἕποντο
swiftly through the-town dear and together all followed
πόλλ᾽ ὀλοφυρόμενοι ὡς εἰ θάνατόνδε κιόντα.
much lamenting as if to-death going
οἱ δ᾽ ἐπεὶ οὖν πόλιος κατέβαν, πεδίον δ᾽ ἀφίκοντο,
they and when then from-the-city went-down the-plain and reached

οἱ μὲν ἄρ᾽ ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο
they indeed then back to Ilium returned
παῖδες καὶ γαμβροί, τὼ δ᾽ οὐ λάθον εὐρύοπα Ζῆν
sons and sons-in-law the-two but not escaped far-seeing Zeus
ἐς πεδίον προφανέντε· ἰδὼν δ᾽ ἐλέησε γέροντα,
into the-plain appearing seeing and he-pitied the-old-man
αἶψα δ᾽ ἄρ᾽ Ἑρμείαν, υἱὸν φίλον, ἀντίον ηὔδα·
quickly and then to-Hermes son dear in-reply spoke
“ Ἑρμεία, σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστιν
Hermes to-you for — most indeed dearest is
ἀνδρὶ ἑταιρίσσαι, καί τ᾽ ἔκλυες ᾧ κ᾽ ἐθέλῃσθα,
a-man to-accompany and — you-hear whom — you-wish
βάσκ᾽ ἴθι, καὶ Πρίαμον κοίλας ἐπὶ νῆας Ἀχαιῶν
go away and Priam hollow to ships of-the-Achaeans
ὥς ἄγαγ᾽, ὡς μήτ᾽ ἄρ τις ἴδῃ μήτ᾽ ἄρ τε νοήσῃ
so lead that neither then anyone see nor then — notice
τῶν ἄλλων Δαναῶν, πρὶν Πηλεΐωνάδ᾽ ἱκέσθαι.”
of-the other Danaans before to-the-son-of-Peleus he-reach
Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε διάκτορος Ἀργειφόντης.
So he-spoke nor disobeyed the-guide Argus-slayer
αὐτίκ᾽ ἔπειθ᾽ ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα
at-once then beneath feet he-bound fair sandals
ἀμβρόσια χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ᾽ ὑγρὴν
ambrosial golden which him carried both over the-wet
ἠδ᾽ ἐπ᾽ ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο·
and over boundless earth with the-blasts of-the-wind
εἵλετο δὲ ῥάβδον, τῇ τ᾽ ἀνδρῶν ὄμματα θέλγει
took and the-wand with-which — of-men the-eyes he-charms
ὧν ἐθέλει, τοὺς δ᾽ αὖτε καὶ ὑπνώοντας ἐγείρει·
of-whom he-wishes others and again also sleeping he-wakes

τὴν μετὰ χερσὶν ἔχων πέτετο κρατὺς Ἀργειφόντης.
it in hands having flew the-strong Argus-slayer
αἶψα δ' ἄρα Τροίην τε καὶ Ἑλλήσποντον ἵκανε,
quickly and then Troy both and the-Hellespont reached
βῆ δ' ἰέναι κούρῳ αἰσυμνητῆρι ἐοικώς,
went and to-go to-a-youth princely like
πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη.
first with-beard whose indeed most-graceful youth
Οἱ δ' ἐπεὶ οὖν μέγα σῆμα παρὲξ Ἴλοιο ἔλασσαν,
They and when then great tomb past of-Ilus had-driven
στῆσαν ἄρ' ἡμιόνους τε καὶ ἵππους, ὄφρα πίοιεν
stopped then mules both and horses so-that they-might-drink
ἐν ποταμῷ· δὴ γὰρ καὶ ἐπὶ κνέφας ἤλυθε γαῖαν.
in the-river indeed for also over darkness had-come the-earth
τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράσσατο κῆρυξ
him and from close-by seeing noticed the-herald
Ἑρμείαν, ποτὶ δὲ Πρίαμον φάτο φώνησέν τε·
Hermes to and Priam spoke spoke and
"φράζεο, Δαρδανίδη· φραδέος νόου ἔργα τέτυκται.
take-heed son-of-Dardanus of-a-wary mind deeds are-made
ἄνδρ' ὁρόω, τάχα δ' ἄμμε διαρραίσεσθαι ὀΐω.
a-man I-see soon and us to-be-torn-apart I-think
ἀλλ' ἄγε δὴ φεύγωμεν ἐφ' ἵππων, ἤ μιν ἔπειτα
but come indeed let-us-flee on the-chariot or him then
γούνων ἁψάμενοι λιτανεύσομεν, αἴ κ' ἐλεήσῃ."
the-knees clasping let-us-beseech if — be-may-pity
Ὣς φάτο, σὺν δὲ γέροντι νόος χύτο, δείδιε δ' αἰνῶς,
So he-spoke together and of-the-old-man mind was-confounded feared and terribly
ὀρθαὶ δὲ τρίχες ἔσταν ἐνὶ γναμπτοῖσι μέλεσσι,
upright and hairs stood on bent limbs

στῆ δὲ ταφών· αὐτὸς δ' ἐριούνιος ἐγγύθεν ἐλθών,
he-stood and dazed himself and the-helper near coming
χεῖρα γέροντος ἑλὼν ἐξείρετο καὶ προσέειπε·
hand of-the-old-man taking questioned and addressed
"πῇ, πάτερ, ὦδ' ἵπους τε καὶ ἡμιόνους ἰθύνεις
where father so horses both and mules do-you-guide
νύκτα δι' ἀμβροσίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι;
night through ambrosial when — sleep mortals other
οὐδὲ σύ γ' ἔδεισας μένεα πνείοντας Ἀχαιούς,
nor you indeed feared furies breathing the-Achaeans
οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασι;
who to-you hostile and implacable near are
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν
of-them if any you should-see swift through night black
τοσσάδ' ὀνείατ' ἄγοντα, τίς ἂν δή τοι νόος εἴη;
so-many treasures leading what — indeed your mind would-be
οὔτ' αὐτὸς νέος ἐσσί, γέρων δέ τοι οὗτος ὀπηδεῖ,
neither yourself young are-you old and for-you this-one attends
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
a-man to-ward-off when someone first be-harsh
ἀλλ' ἐγὼ οὐδέν σε ῥέξω κακά, καὶ δέ κεν ἄλλον
but I nothing to-you will-do evil-things and also — other
σεῦ ἀπαλεξήσαιμι· φίλῳ δέ σε πατρὶ ἐΐσκω."
from-you would-ward-off to-dear and you father I-liken
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Him and answered then old-man Priam godlike
"οὕτω πῃ τάδε γ' ἐστί, φίλον τέκος, ὡς ἀγορεύεις.
so somehow these-things indeed are dear child as you-say
ἀλλ' ἔτι τις καὶ ἐμεῖο θεῶν ὑπερέσχεθε χεῖρα,
but still some even over-me of-gods has-held hand

ὅς μοι τοιόνδ' ἧκεν ὁδοιπόρον ἀντιβολῆσαι
who for-me such sent wayfarer to-meet
αἴσιον, οἷος δὴ σὺ δέμας καὶ εἶδος ἀγητός,
auspicious such indeed you in-build and in-form wondrous
πέπνυσαί τε νόῳ, μακάρων δ' ἔξ ἐσσι τοκήων."
are-wise both in-mind blessed and from you-are parents
Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Him and in-turn addressed the-guide Argus-slayer
"ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες.
yes indeed these-things indeed all old-man according-to due you-spoke
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
but come to-me this tell and truly recount
ἠέ πῃ ἐκπέμπεις κειμήλια πολλὰ καὶ ἐσθλὰ
whether somewhere you-send-out treasures many and good
ἄνδρας ἐς ἀλλοδαπούς, ἵνα περ τάδε τοι σόα μίμνῃ,
men to foreign so-that indeed these for-you safe may-remain
ἦ ἤδη πάντες καταλείπετε Ἴλιον ἱρὴν
or already all you-are-leaving Ilium holy
δειδιότες· τοῖος γὰρ ἀνὴρ ὤριστος ὄλωλε
fearing such for a-man best has-perished
σὸς πάϊς· οὐ μὲν γάρ τι μάχης ἐπιδεύετ' Ἀχαιῶν."
your son not indeed for at-all of-battle fell-short of-the-Achaeans
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Him and answered then old-man Priam godlike
"τίς δὲ σύ ἐσσι, φέριστε, τέων δ' ἔξ ἐσσι τοκήων;
who and you are best-one whom and from you-are parents
ὥς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνισπες."
as to-me fairly the fate of-ill-starred son told

Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Him and in-turn addressed the-guide Argus-slayer
"πειρᾷ ἐμεῖο, γεραιέ, καὶ εἴρεαι Ἕκτορα δῖον.
you-test me old-sir and ask-about Hector noble
τὸν μὲν ἐγὼ μάλα πολλὰ μάχῃ ἔνι κυδιανείρῃ
him indeed I very often battle in glory-giving
ὀφθαλμοῖσιν ὄπωπα, καὶ εὖτ' ἐπὶ νηυσὶν ἐλάσσας
with-eyes have-seen and when to the-ships having-driven
Ἀργείους κτείνεσκε, δαΐζων ὀξέϊ χαλκῷ·
the-Argives he-was-killing slaying with-sharp bronze
ἡμεῖς δ' ἑσταότες θαυμάζομεν· οὐ γὰρ Ἀχιλλεὺς
we and standing marveled not for Achilles
εἴα μάρνασθαι, κεχολωμένος Ἀτρεΐωνι.
allowed to-fight angered with-the-son-of-Atreus
τοῦ γὰρ ἐγὼ θεράπων, μία δ' ἤγαγε νηῦς εὐεργής·
his for I attendant one and brought ship well-built
Μυρμιδόνων δ' ἔξ εἰμι, πατὴρ δέ μοί ἐστι Πολύκτωρ.
the-Myrmidons and from I-am father and to-me is Polyctor
ἀφνειὸς μὲν ὅ γ' ἐστί, γέρων δὲ δὴ ὡς σύ περ ὧδε,
wealthy indeed he indeed is old and indeed as you indeed so
ἓξ δέ οἱ υἱες ἔασιν, ἐγὼ δέ οἱ ἕβδομός εἰμι·
six and to-him sons are I and his seventh am
τῶν μέτα παλλόμενος κλήρῳ λάχον ἐνθάδ' ἕπεσθαι.
them among shaking by-lot I-drew here to-follow
νῦν δ' ἦλθον πεδίονδ' ἀπὸ νηῶν· ἠῶθεν γὰρ
now and I-came to-the-plain from the-ships at-dawn for
θήσονται περὶ ἄστυ μάχην ἑλίκωπες Ἀχαιοί.
will-set around the-town battle bright-eyed the-Achaeans

ἀσχαλόωσι γὰρ οἵδε καθήμενοι, οὐδὲ δύνανται
they-chafe for these sitting nor can
ἴσχειν ἐσσυμένους πολέμου βασιλῆες Ἀχαιῶν.”
hold-back eager for-war the-kings of-the-Achaeans
Τὸν δ’ ἠμείβετ’ ἔπειτα γέρων Πρίαμος θεοειδής·
Him and answered then old-man Priam godlike
“εἰ μὲν δὴ θεράπων Πηληϊάδεω Ἀχιλῆος
if indeed truly attendant of-the-son-of-Peleus Achilles
εἶς, ἄγε δή μοι πᾶσαν ἀληθείην κατάλεξον,
you-are come indeed to-me all the-truth recount
ἦ ἔτι πὰρ νήεσσιν ἐμὸς πάϊς, ἦέ μιν ἤδη
whether still by the-ships my son or him already
ᾗσι κυσὶν μελεϊστὶ ταμὼν προύθηκεν Ἀχιλλεύς.”
to-his dogs limb-by-limb having-cut has-thrown Achilles
Τὸν δ’ αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Him and in-turn addressed the-guide Argus-slayer
“ὦ γέρον, οὔ πω τόν γε κύνες φάγον οὐδ’ οἰωνοί,
O old-man not yet him indeed dogs ate nor birds
ἀλλ’ ἔτι κεῖνος κεῖται Ἀχιλλῆος παρὰ νηΐ
but still he lies of-Achilles beside the-ship
αὔτως ἐν κλισίῃσι· δυωδεκάτη δέ οἱ ἠὼς
just-so in the-huts the-twelfth and for-him dawn
κειμένῳ, οὐδέ τί οἱ χρὼς σήπεται, οὐδέ μιν εὐλαὶ
lying nor at-all his flesh rots nor him worms
ἔσθουσ’, αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
eat which then — men slain-in-war devour
ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο
truly indeed him around the-tomb of-his comrade dear
ἕλκει ἀκηδέστως, ἠὼς ὅτε δῖα φανήῃ,
he-drags ruthlessly dawn when bright appears

οὐδέ μιν αἰσχύνει· θηοῖό κεν αὐτὸς ἐπελθὼν
nor him he-disfigures you-would-marvel — yourself coming
οἷον ἐερσήεις κεῖται, περὶ δ' αἷμα νένιπται,
how dewy-fresh he-lies around and the-blood is-washed-away
οὐδέ ποθι μιαρός· σὺν δ' ἕλκεα πάντα μέμυκεν,
nor anywhere foul together and the-wounds all are-closed
ὅσσ' ἐτύπη· πολέες γὰρ ἐν αὐτῷ χαλκὸν ἔλασσαν.
as-many-as he-was-struck many for into him bronze drove
ὥς τοι κήδονται μάκαρες θεοὶ υἷος ἑῆος
so you-know care the-blessed gods for-son good
καὶ νέκυός περ ἐόντος, ἐπεί σφι φίλος περὶ κῆρι."
even dead though being since to-them dear exceedingly in-heart
Ὣς φάτο, γήθησεν δ' ὁ γέρων, καὶ ἀμείβετο μύθῳ·
So he-spoke rejoiced and the old-man and answered with-word
"ὦ τέκος, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι
O child truly then good even due gifts to-give
ἀθανάτοις, ἐπεὶ οὔ ποτ' ἐμὸς πάϊς, εἴ ποτ' ἔην γε,
to-the-immortals since not ever my son if ever he-was indeed
λήθετ' ἐνὶ μεγάροισι θεῶν, οἳ Ὄλυμπον ἔχουσι·
forgot in halls the-gods who Olympus hold
τῷ οἱ ἀπομνήσαντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
therefore him they-remembered even in of-death though the-lot
ἀλλ' ἄγε δὴ τόδε δέξαι ἐμεῦ πάρα καλὸν ἄλεισον,
but come indeed this accept me from fair cup
αὐτόν τε ῥῦσαι, πέμψον δέ με σύν γε θεοῖσιν,
myself both protect send and me with indeed the-gods
ὄφρα κεν ἐς κλισίην Πηληϊάδεω ἀφίκωμαι."
until — into the-hut of-the-son-of-Peleus I-come

Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Him and in-turn addressed the-guide Argus-slayer
"πειρᾷ ἐμεῖο, γεραιέ, νεωτέρου, οὐδέ με πείσεις,
you-test me old-sir younger nor me will-you-persuade
ὅς με κέλεαι σέο δῶρα παρὲξ Ἀχιλῆα δέχεσθαι.
who me bid your gifts behind-the-back-of Achilles to-receive
τὸν μὲν ἐγὼ δείδοικα καὶ αἰδέομαι περὶ κῆρι
him indeed I fear and feel-shame exceedingly in-heart
συλεύειν, μή μοί τι κακὸν μετόπισθε γένηται.
to-rob lest to-me any evil hereafter come
σοὶ δ' ἂν ἐγὼ πομπὸς καί κε κλυτὸν Ἄργος ἱκοίμην,
to-you but — I escort even — famed Argos I-would-reach
ἐνδυκέως ἐν νηῒ θοῇ ἢ πεζὸς ὁμαρτέων·
kindly in ship swift or on-foot accompanying
οὐκ ἄν τίς τοι πομπὸν ὀνοσσάμενος μαχέσαιτο."
not — any you the-escort scorning would-fight
Ἦ, καὶ ἀναΐξας ἐριούνιος ἅρμα καὶ ἵππους
He-spoke and having-leapt-up the-helper chariot and horses
καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν,
swiftly the-whip and reins took in-hands
ἐν δ' ἔπνευσ' ἵπποισι καὶ ἡμιόνοις μένος ἠΰ.
in and breathed into-the-horses and mules might good
ἀλλ' ὅτε δὴ πύργους τε νεῶν καὶ τάφρον ἵκοντο,
but when indeed the-towers both of-the-ships and the-ditch they-reached
οἱ δὲ νέον περὶ δόρπα φυλακτῆρες πονέοντο,
they and newly about supper the-guards were-busy
τοῖσι δ' ἐφ' ὕπνον ἔχευε διάκτορος Ἀργειφόντης
on-them and over sleep poured the-guide Argus-slayer
πᾶσιν, ἄφαρ δ' ὤϊξε πύλας καὶ ἀπῶσεν ὀχῆας,
on-all at-once and opened the-gates and pushed-back the-bars

ἐς δ' ἄγαγε Πρίαμόν τε καὶ ἀγλαὰ δῶρ' ἐπ' ἀπήνης.
in and led Priam both and glorious gifts on wagon
ἀλλ' ὅτε δὴ κλισίην Πηληϊάδεω ἀφίκοντο
but when indeed the-hut of-the-son-of-Peleus they-reached
ὑψηλήν, τὴν Μυρμιδόνες ποίησαν ἄνακτι
high which the-Myrmidons made for-the-lord
δοῦρ' ἐλάτης κέρσαντες· ἀτὰρ καθύπερθεν ἔρεψαν
beams of-fir having-cut but above roofed
λαχνήεντ' ὄροφον λειμωνόθεν ἀμήσαντες·
shaggy roof from-the-meadow having-mown
ἀμφὶ δέ οἱ μεγάλην αὐλὴν ποίησαν ἄνακτι
around and for-him great courtyard made for-the-lord
σταυροῖσιν πυκινοῖσι· θύρην δ' ἔχε μοῦνος ἐπιβλὴς
with-stakes close-set the-door and held single bar
εἰλάτινος, τὸν τρεῖς μὲν ἐπιρρήσσεσκον Ἀχαιοί,
of-fir which three indeed used-to-drive-home the-Achaeans
τρεῖς δ' ἀναοίγεσκον μεγάλην κληῖδα θυράων
three and used-to-draw-back great bolt of-the-door
τῶν ἄλλων· Ἀχιλεὺς δ' ἄρ' ἐπιρρήσσεσκε καὶ οἷος·
of-the others Achilles and then used-to-drive-home even alone
δή ῥα τόθ' Ἑρμείας ἐριούνιος ὦξε γέροντι,
indeed then then Hermes the-helper opened for-the-old-man
ἐς δ' ἄγαγε κλυτὰ δῶρα ποδώκεϊ Πηλεΐωνι,
in and he-led glorious gifts for-the-swift-footed son-of-Peleus
ἐξ ἵππων δ' ἀπέβαινεν ἐπὶ χθόνα φώνησέν τε·
from the-horses and he-stepped-down to the-ground spoke and
"ὦ γέρον, ἦτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα,
O old-man truly I a-god immortal have-come
Ἑρμείας· σοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὄπασσεν.
Hermes to-you for me the-father along escort granted

ἀλλ᾽ ἤτοι μὲν ἐγὼ πάλιν εἶσομαι, οὐδ᾽ Ἀχιλῆος
but truly indeed I back will-go nor of-Achilles
ὀφθαλμοὺς εἴσειμι· νεμεσσητὸν δέ κεν εἴη
the-eyes will-I-enter cause-for-indignation and — would-be
ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην·
an-immortal god so mortals to-welcome face-to-face
τύνη δ᾽ εἰσελθὼν λαβὲ γούνατα Πηλεΐωνος,
you and having-gone-in take the-knees of-the-son-of-Peleus
καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠϋκόμοιο
and him by father and mother lovely-haired
λίσσεο καὶ τέκεος, ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς."
beseech and child that his together heart you-may-stir

XXIV.5 · PRIAM AND ACHILLES

Priam enters unseen, clasps Achilles' knees, and kisses the hands that killed his sons. He asks Achilles to remember his old father, and says he has endured what no man has, to kiss the hand of his son's killer. Both weep, Priam for Hector and Achilles for his father and Patroclus. Achilles raises him and tells him of Zeus' two jars of good and evil, as Peleus and Priam have both known. Priam asks for the body at once. Achilles says Zeus has already bidden it, and warns him not to stir his anger.

Ὣς ἄρα φωνήσας ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
So then having-spoken went-away to high Olympus
Ἑρμείας· Πρίαμος δ᾽ ἐξ ἵππων ἅλτο χαμᾶζε,
Hermes Priam and from the-chariot leapt to-the-ground
Ἰδαῖον δὲ κατ᾽ αὖθι λίπεν· ὁ δὲ μίμνεν ἐρύκων
Idaeus and down there left he and remained holding
ἵππους ἡμιόνους τε· γέρων δ᾽ ἰθὺς κίεν οἴκου,
horses mules and the-old-man and straight went to-the-house

τῇ ῥ᾽ Ἀχιλεὺς ἵζεσκε Διῒ φίλος· ἐν δέ μιν αὐτὸν
where then Achilles used-to-sit to-Zeus dear in and him himself
εὗρ᾽, ἕταροι δ᾽ ἀπάνευθε καθήατο· τὼ δὲ δύ᾽ οἴω,
found the-comrades and apart sat the-two and two alone
ἥρως Αὐτομέδων τε καὶ Ἄλκιμος, ὄζος Ἄρηος,
hero Automedon both and Alcimus scion of-Ares
ποίπνυον παρεόντε· νέον δ᾽ ἀπέληγεν ἐδωδῆς
were-busy being-at-hand newly and he-had-ceased from-food
ἔσθων καὶ πίνων· ἔτι καὶ παρέκειτο τράπεζα.
eating and drinking still and stood-beside the-table
τοὺς δ᾽ ἔλαθ᾽ εἰσελθὼν Πρίαμος μέγας, ἄγχι δ᾽ ἄρα στὰς
them and eluded having-entered Priam great near and then standing
χερσὶν Ἀχιλλῆος λάβε γούνατα καὶ κύσε χεῖρας
with-hands of-Achilles clasped the-knees and kissed the-hands
δεινὰς ἀνδροφόνους, αἳ οἱ πολέας κτάνον υἷας.
dread man-slaying which his many slew sons
ὡς δ᾽ ὅτ᾽ ἂν ἄνδρ᾽ ἄτη πυκινὴ λάβῃ, ὅς τ᾽ ἐνὶ πάτρῃ
as and when — a-man blindness thick seizes who — in fatherland
φῶτα κατακτείνας ἄλλων ἐξίκετο δῆμον,
a-man having-killed of-others has-come-to the-people
ἀνδρὸς ἐς ἀφνειοῦ, θάμβος δ᾽ ἔχει εἰσορόωντας,
of-a-man to wealthy wonder and holds those-looking-on
ὣς Ἀχιλεὺς θάμβησεν ἰδὼν Πρίαμον θεοειδέα·
so Achilles marveled seeing Priam godlike
θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο.
marveled and also the-others to each-other and looked
τὸν καὶ λισσόμενος Πρίαμος πρὸς μῦθον ἔειπε·
him and beseeching Priam to word spoke
“μνῆσαι πατρὸς σοῖο, θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ,
remember father your to-the-gods like Achilles

τηλίκου ὥς περ ἐγών, ὀλοῷ ἐπὶ γήραος οὐδῷ·
of-such-age as indeed I baneful on of-old-age threshold
καὶ μέν που κεῖνον περιναιέται ἀμφὶς ἐόντες
and indeed surely him the-neighbors around dwelling
τείρουσ', οὐδέ τίς ἐστιν ἀρὴν καὶ λοιγὸν ἀμῦναι.
wear-down nor any is ruin and bane to-ward-off
ἀλλ' ἤτοι κεῖνός γε σέθεν ζώοντος ἀκούων
but truly he indeed of-you living hearing
χαίρει τ' ἐν θυμῷ, ἐπί τ' ἔλπεται ἤματα πάντα
rejoices both in heart thereupon and hopes days all
ὄψεσθαι φίλον υἱὸν ἀπὸ Τροίηθεν ἰόντα·
to-see dear son from from-Troy coming
αὐτὰρ ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
but I all-unfortunate since I-begot sons best
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' οὔ τινά φημι λελεῖφθαι.
Troy in wide of-them but not any I-say to-be-left
πεντήκοντά μοι ἦσαν, ὅτ' ἤλυθον υἷες Ἀχαιῶν·
fifty to-me there-were when came the-sons of-the-Achaeans
ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν,
nineteen indeed to-me one from womb were
τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.
the and others for-me bore in halls women
τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ' ἔλυσεν·
of-them indeed many furious Ares beneath the-knees loosed
ὃς δέ μοι οἷος ἔην, εἴρυτο δὲ ἄστυ καὶ αὐτούς,
who but to-me alone was guarded and the-town and themselves

τὸν σὺ πρώην κτεῖνας ἀμυνόμενον περὶ πάτρης
him you lately killed defending for fatherland
Ἕκτορα· τοῦ νῦν εἵνεχ' ἱκάνω νῆας Ἀχαιῶν
Hector his now for-the-sake-of I-come-to the-ships of-the-Achaeans
λυσόμενος παρὰ σεῖο, φέρω δ' ἀπερείσι' ἄποινα.
to-ransom(-him) from you I-bring and boundless ransom
ἀλλ' αἰδεῖο θεούς, Ἀχιλεῦ, αὐτόν τ' ἐλέησον
but respect the-gods Achilles myself and pity
μνησάμενος σοῦ πατρός· ἐγὼ δ' ἐλεεινότερός περ,
remembering your father I but more-pitiable even
ἔτλην δ' οἷ' οὔ πώ τις ἐπιχθόνιος βροτὸς ἄλλος,
I-have-endured and such-as not yet any on-earth mortal other
ἀνδρὸς παιδοφόνοιο ποτὶ στόμα χεῖρ' ὀρέγεσθαι."
of-the-man child-slaying to mouth hand to-stretch
Ὣς φάτο, τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρσε γόοιο·
So he-spoke in-him and then for-father beneath a-longing roused for-lament
ἁψάμενος δ' ἄρα χειρὸς ἀπώσατο ἦκα γέροντα.
having-touched and then the-hand he-pushed-away gently the-old-man
τὼ δὲ μνησαμένω, ὁ μὲν Ἕκτορος ἀνδροφόνοιο
the-two and remembering the-one indeed for-Hector man-slaying
κλαῖ' ἀδινὰ προπάροιθε ποδῶν Ἀχιλῆος ἐλυσθείς,
wept vehemently in-front-of the-feet of-Achilles huddled
αὐτὰρ Ἀχιλλεὺς κλαῖεν ἑὸν πατέρ', ἄλλοτε δ' αὖτε
but Achilles wept his father at-other-times and again
Πάτροκλον· τῶν δὲ στοναχὴ κατὰ δώματ' ὀρώρει.
Patroclus of-them and the-groaning through the-house had-arisen
αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖος Ἀχιλλεύς,
but when then of-lament had-taken-his-fill noble Achilles
καί οἱ ἀπὸ πραπίδων ἦλθ' ἵμερος ἠδ' ἀπὸ γυίων,
and his from heart went desire and from limbs

αὐτίκ᾽ ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸς ἀνίστη
at-once from the-chair he-rose the-old-man and by-hand raised
οἰκτίρων πολιόν τε κάρη πολιόν τε γένειον,
pitying gray both head gray and beard
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"ἆ δείλ᾽, ἦ δὴ πολλὰ κάκ᾽ ἄνσχεο σὸν κατὰ θυμόν.
ah wretched-man truly indeed many evils you-have-endured your in heart
πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἷος,
how did-you-dare to the-ships of-the-Achaeans to-come alone
ἀνδρὸς ἐς ὀφθαλμοὺς ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
of-the-man into the-eyes who your many both and good
υἱέας ἐξενάριξα; σιδήρειόν νύ τοι ἦτορ.
sons I-slew iron now your heart
ἀλλ᾽ ἄγε δὴ κατ᾽ ἄρ᾽ ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ᾽ ἔμπης
but come indeed down then sit on a-chair the-griefs and nevertheless
ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν ἀχνύμενοί περ·
in heart to-lie-still we-will-let grieving though
οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο·
not for any achievement comes of-chilling lament
ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι,
so for spun the-gods for-wretched mortals
ζώειν ἀχνυμένοις· αὐτοὶ δέ τ᾽ ἀκηδέες εἰσί.
to-live in-grief themselves and — free-from-care are
δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
two for — jars stand on of-Zeus the-floor
δώρων οἷα δίδωσι κακῶν, ἕτερος δὲ ἑάων·
of-gifts such-as he-gives of-evils the-other and of-good-things
ᾧ μέν κ᾽ ἀμμείξας δώῃ Ζεὺς τερπικέραυνος,
to-whom indeed — mixing gives Zeus thunder-delighting

ἄλλοτε μέν τε κακῷ ὅ γε κύρεται, ἄλλοτε δ' ἐσθλῷ·
at-times indeed — with-evil he indeed meets at-other-times and with-good
ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκε,
to-whom but — of-the baneful gives an-outcast he-makes
καί έ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει,
and him evil gadfly-hunger over earth bright drives
φοιτᾷ δ' οὔτε θεοῖσι τετιμένος οὔτε βροτοῖσιν.
he-roams and neither by-gods honored nor by-mortals
ὣς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
so indeed also to-Peleus the-gods gave glorious gifts
ἐκ γενετῆς· πάντας γὰρ ἐπ' ἀνθρώπους ἐκέκαστο
from birth all for above men he-excelled
ὄλβῳ τε πλούτῳ τε, ἄνασσε δὲ Μυρμιδόνεσσι,
in-happiness both in-wealth and he-ruled and the-Myrmidons
καί οἱ θνητῷ ἐόντι θεὰν ποίησαν ἄκοιτιν.
and to-him mortal being a-goddess they-made wife
ἀλλ' ἐπὶ καὶ τῷ θῆκε θεὸς κακόν, ὅττι οἱ οὔ τι
but upon even him set the-god evil that to-him not at-all
παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντων,
of-sons in halls a-race was-born ruling
ἀλλ' ἕνα παῖδα τέκεν παναώριον· οὐδέ νυ τόν γε
but one son he-begot all-untimely nor now him indeed
γηράσκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης
growing-old do-I-tend since very far-from fatherland
ἧμαι ἐνὶ Τροίῃ, σέ τε κήδων ἠδὲ σὰ τέκνα.
I-sit in Troy you both vexing and your children
καὶ σέ, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι·
and you old-man the before indeed we-hear prosperous to-be

ὅσσον Λέσβος ἄνω, Μάκαρος ἕδος, ἐντὸς ἐέργει
as-much-as Lesbos above of-Macar seat within encloses
καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντος ἀπείρων,
and Phrygia above and the-Hellespont boundless
τῶν σε, γέρον, πλούτῳ τε καὶ υἱάσι φασὶ κεκάσθαι.
among-these you old-man in-wealth both and in-sons they-say to-excel
αὐτὰρ ἐπεί τοι πῆμα τόδ' ἤγαγον Οὐρανίωνες
but since to-you bane this brought the-heavenly-ones
αἰεί τοι περὶ ἄστυ μάχαι τ' ἀνδροκτασίαι τε.
always for-you around the-town battles both slayings and
ἄνσχεο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν·
bear-up nor unceasingly grieve your in heart
οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἱος ἑῆος,
not for at-all will-you-achieve grieving for-son good
οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθῃσθα."
nor him will-you-raise-up before even evil other you-suffer
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Him and answered then old-man Priam godlike
"μή πω μ' ἐς θρόνον ἵζε, διοτρεφές, ὄφρα κεν Ἕκτωρ
not yet me into a-chair seat Zeus-nurtured while — Hector
κεῖται ἐνὶ κλισίῃσιν ἀκηδής, ἀλλὰ τάχιστα
lies in the-huts uncared-for but very-quickly
λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω· σὺ δὲ δέξαι ἄποινα
release(-him) that with-eyes I-may-see you and accept the-ransom
πολλά, τά τοι φέρομεν· σὺ δὲ τῶνδ' ἀπόναιο, καὶ ἔλθοις
many which to-you we-bring you and these may-enjoy and come
σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασας
your to native land since me first you-have-spared
αὐτόν τε ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο."
myself both to-live and to-see the-light of-the-sun

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Him and then from-under looking addressed in-feet swift Achilles
"μηκέτι νῦν μ' ἐρέθιζε, γέρον· νοέω δὲ καὶ αὐτὸς
no-longer now me provoke old-man I-intend and also myself
Ἕκτορά τοι λῦσαι, Διόθεν δέ μοι ἄγγελος ἦλθε
Hector to-you to-release from-Zeus and to-me a-messenger came
μήτηρ, ἥ μ' ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντος.
mother who me bore daughter of-the-sea old-man
καὶ δέ σε γιγνώσκω, Πρίαμε, φρεσίν, οὐδέ με λήθεις,
and also you I-know Priam in-mind nor me you-escape
ὅττι θεῶν τίς σ' ἦγε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
that of-gods some you led swift to ships of-the-Achaeans
οὐ γάρ κε τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ' ἡβῶν,
not for — would-dare a-mortal to-come not-even very young
ἐς στρατόν· οὐδὲ γὰρ ἂν φυλάκους λάθοι, οὐδέ κ' ὀχῆα
into the-camp nor for — the-guards he-would-escape nor — the-bar
ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων.
easily would-push-back of-the-doors our
τῶ νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνῃς,
therefore now not for-me more in griefs heart you-stir
μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω
lest you old-man not-even yourself in the-huts I-leave-alone
καὶ ἱκέτην περ ἐόντα, Διὸς δ' ἀλίτωμαι ἐφετμάς."
even a-suppliant though being of-Zeus and I-sin-against the-commands

Achilles has the body washed and clothed out of Priam's sight, lest Priam's grief anger him into killing the old man, and asks Patroclus not to be angry. He tells Priam they must eat, as Niobe ate after her children were killed. They eat and marvel at each other. Achilles grants eleven days to bury Hector.

Ὣς ἔφατ', ἔδεισεν δ' ὁ γέρων καὶ ἐπείθετο μύθῳ.
So he-spoke feared and the old-man and obeyed the-word
Πηλεΐδης δ' οἴκοιο λέων ὡς ἆλτο θύραζε,
the-son-of-Peleus and from-the-house a-lion like sprang out-of-doors
οὐκ οἷος, ἅμα τῷ γε δύω θεράποντες ἕποντο,
not alone together-with him indeed two attendants followed
ἥρως Αὐτομέδων ἠδ' Ἄλκιμος, οὕς ῥα μάλιστα
hero Automedon and Alcimus whom then most
τῖ' Ἀχιλεὺς ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα,
honored Achilles of-comrades after Patroclus indeed dead
οἳ τόθ' ὑπὸ ζυγόφιν λύον ἵππους ἡμιόνους τε,
who then from-under the-yoke loosed horses mules and
ἐς δ' ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντος,
in and they-led the-herald crier of-the old-man
κὰδ δ' ἐπὶ δίφρου εἶσαν· ἐϋξέστου δ' ἀπ' ἀπήνης
down and on a-chair seated well-polished and from the-wagon
ᾕρεον Ἕκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα.
took of-Hector's head boundless ransom
κὰδ δ' ἔλιπον δύο φάρε' ἐΰννητόν τε χιτῶνα,
down and they-left two mantles well-spun and tunic
ὄφρα νέκυν πυκάσας δοίη οἰκόνδε φέρεσθαι.
so-that the-corpse having-wrapped he-might-give homeward to-carry

δμῳὰς δ᾽ ἐκκαλέσας λοῦσαι κέλετ᾽ ἀμφί τ᾽ ἀλεῖψαι
handmaids and having-called-out to-wash he-bade around and to-anoint
νόσφιν ἀειράσας, ὡς μὴ Πρίαμος ἴδοι υἱόν,
apart having-lifted(-him) so-that not Priam see the-son
μὴ ὁ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύσαιτο
lest he indeed in-grieving heart wrath not restrain
παῖδα ἰδών, Ἀχιλῆϊ δ᾽ ὀρινθείη φίλον ἦτορ, 585
the-son seeing Achilles and be-stirred dear heart
καί ἑ κατακτείνειε, Διὸς δ᾽ ἀλίτηται ἐφετμάς.
and him kill of-Zeus and sin-against the-commands
τὸν δ᾽ ἐπεὶ οὖν, δμῳαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
him and when then the-handmaids washed and anointed with-oil
ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον ἠδὲ χιτῶνα,
around and him mantle fair they-cast and tunic
αὐτὸς τόν γ᾽ Ἀχιλεὺς λεχέων ἐπέθηκεν ἀείρας,
himself him indeed Achilles on-the-bier set having-lifted
σὺν δ᾽ ἕταροι ἤειραν ἐϋξέστην ἐπ᾽ ἀπήνην. 590
together and the-comrades lifted well-polished onto wagon
ᾤμωξέν τ᾽ ἄρ᾽ ἔπειτα, φίλον δ᾽ ὀνόμηνεν ἑταῖρον·
groaned and then thereafter dear and named comrade
“μή μοι, Πάτροκλε, σκυδμαινέμεν, αἴ κε πύθηαι
not with-me Patroclus be-angry if — you-learn
εἰν Ἄϊδός περ ἐὼν ὅτι Ἕκτορα δῖον ἔλυσα
in of-Hades though being that Hector noble I-released
πατρὶ φίλῳ, ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα.
to-father dear since not to-me unseemly he-gave ransom
σοὶ δ᾽ αὖ ἐγὼ καὶ τῶνδ᾽ ἀποδάσσομαι ὅσσ᾽ ἐπέοικεν.” 595
to-you and in-turn I also of-these will-give-a-share as-much-as is-fitting

Ἦ ῥα, καὶ ἐς κλισίην πάλιν ἤϊε δῖος Ἀχιλλεύς,
He-spoke then and into the-hut back went noble Achilles
ἕζετο δ' ἐν κλισμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέστη,
sat and on the-chair richly-wrought whence he-had-risen
τοίχου τοῦ ἑτέρου, ποτὶ δὲ Πρίαμον φάτο μῦθον·
wall of-the other to and Priam spoke word
"υἱὸς μὲν δή τοι λέλυται, γέρον, ὡς ἐκέλευες,
son indeed truly to-you is-released old-man as you-bade
κεῖται δ' ἐν λεχέεσσ'· ἅμα δ' ἠοῖ φαινομένηφιν
lies and on a-bier together-with and dawn appearing
ὄψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
you-will-see(-him) yourself bearing(-him) now but let-us-think-of supper
καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
even for — lovely-haired Niobe thought-of food
τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
whose indeed twelve children in halls perished
ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἠβώοντες.
six indeed daughters six and sons in-their-youth
τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο
them indeed Apollo slew from silver bow
χωόμενος Νιόβῃ, τὰς δ' Ἄρτεμις ἰοχέαιρα,
angered with-Niobe them and Artemis arrow-pouring
οὕνεκ' ἄρα Λητοῖ ἰσάσκετο καλλιπαρῄῳ·
because then with-Leto she-likened-herself fair-cheeked
φῂ δοιὼ τεκέειν, ἡ δ' αὐτὴ γείνατο πολλούς·
said two to-have-borne she and herself bore many
τὼ δ' ἄρα καὶ δοιώ περ ἐόντ' ἀπὸ πάντας ὄλεσσαν.
they-two and then even two though being utterly all destroyed

οἱ μὲν ἄρ᾽ ἐννῆμαρ κέατ᾽ ἐν φόνῳ, οὐδέ τις ἦεν
they indeed then nine-days lay in blood nor anyone was
καθάψαι, λαοὺς δὲ λίθους ποίησε Κρονίων·
to-bury(-them) the-people and stones made the-son-of-Cronus
τοὺς δ᾽ ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ Οὐρανίωνες.
them and then on-the tenth buried the-gods heavenly-ones
ἡ δ᾽ ἄρα σίτου μνήσατ᾽, ἐπεὶ κάμε δάκρυ χέουσα.
she and then of-food thought when she-was-wearied tear shedding
νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν
now and somewhere among the-rocks in mountains lonely
ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς
in Sipylus where they-say of-goddesses to-be the-couches
νυμφάων, αἵ τ᾽ ἀμφ᾽ Ἀχελώϊον ἐρρώσαντο,
of-nymphs who — around Achelous danced
ἔνθα λίθος περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει.
there a-stone though being the-gods from the-sorrows broods-on
ἀλλ᾽ ἄγε δὴ καὶ νῶϊ μεδώμεθα, δῖε γεραιέ,
but come indeed also we-two let-us-think-of noble old-man
σίτου· ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα,
of-food afterward — again dear son you-may-weep
Ἴλιον εἰσαγαγών· πολυδάκρυτος δέ τοι ἔσται.”
to-Ilium having-brought(-him) much-wept and to-you he-will-be

Ἦ, καὶ ἀναΐξας ὄϊν ἄργυφον ὠκὺς Ἀχιλλεὺς
He-spoke and having-sprung-up a-sheep white swift Achilles
σφάξ᾽· ἕταροι δὲ δέρον τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον,
slaughtered the-comrades and flayed both and dressed well in order
μίστυλλόν τ᾽ ἄρ᾽ ἐπισταμένως πείρᾶν τ᾽ ὀβελοῖσιν,
cut-up and then skillfully pierced and on-spits
ὄπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
roasted and carefully drew-off and all

Αὐτομέδων δ᾽ ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
Automedon and then bread having-taken distributed on-the-table
καλοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
fair in baskets but the-meat served Achilles
οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
they and to the-good-things ready set-before hands put-forth
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-had-put
ἤτοι Δαρδανίδης Πρίαμος θαύμαζ᾽ Ἀχιλῆα,
truly son-of-Dardanus Priam marveled-at Achilles
ὅσσος ἔην οἷός τε· θεοῖσι γὰρ ἄντα ἐῴκει·
how-great he-was what-like and to-the-gods for face-to-face he-was-like
αὐτὰρ ὁ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεύς,
but he son-of-Dardanus Priam marveled-at Achilles
εἰσορόων ὄψίν τ᾽ ἀγαθὴν καὶ μῦθον ἀκούων.
looking-at the-face both noble and the-word hearing
αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες,
but when they-had-their-fill at each-other gazing
τὸν πρότερος προσέειπε γέρων Πρίαμος θεοειδής·
him first addressed old-man Priam godlike
"λέξον νῦν με τάχιστα, διοτρεφές, ὄφρα καὶ ἤδη
lay-down now me quickest Zeus-nurtured so-that also now
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες·
sleep under sweet we-may-take-our-fill having-lain-down
οὐ γάρ πω μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν
not for yet closed eyes under eyelids my
ἐξ οὗ σῆς ὑπὸ χερσὶν ἐμὸς πάϊς ὤλεσε θυμόν,
from when your under hands my son lost life

ἀλλ᾽ αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω
but always I-groan and sorrows countless brood-on
αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον.
of-the-courtyard in the-enclosures rolling in dung
νῦν δὴ καὶ σίτου πασάμην καὶ αἴθοπα οἶνον
now indeed both of-food I-have-tasted and sparkling wine
λαυκανίης καθέηκα· πάρος γε μὲν οὔ τι πεπάσμην.᾽᾽
the-throat I-have-let-down before indeed indeed not at-all had-I-tasted
Ἦ ῥ᾽, Ἀχιλεὺς δ᾽ ἑτάροισιν ἰδὲ δμῳῇσι κέλευσε
He-spoke then Achilles and to-comrades and handmaids bade
δέμνι᾽ ὑπ᾽ αἰθούσῃ θέμεναι καὶ ῥήγεα καλὰ
bedsteads under the-portico to-set and rugs fair
πορφύρε᾽ ἐμβαλέειν, στορέσαι τ᾽ ἐφύπερθε τάπητας,
purple to-throw-on to-spread and over-them coverlets
χλαίνας τ᾽ ἐνθέμεναι οὔλας καθύπερθεν ἔσασθαι.
cloaks and to-put-on woolly above to-wear
αἱ δ᾽ ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι,
they and went from the-hall a-torch in hands holding
αἶψα δ᾽ ἄρα στόρεσαν δοιὼ λέχε᾽ ἐγκονέουσαι.
quickly and then spread two beds hurrying
τὸν δ᾽ ἐπικερτομέων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
him and mocking addressed in-feet swift Achilles
“ἐκτὸς μὲν δὴ λέξο, γέρον φίλε, μή τις Ἀχαιῶν
outside indeed truly lie-down old-man dear lest any of-the-Achaeans
ἐνθάδ᾽ ἐπέλθῃσιν βουληφόρος, οἵ τέ μοι αἰεὶ
here come counselor who — with-me always
βουλὰς βουλεύουσι παρήμενοι, ἣ θέμις ἐστί·
counsels plan sitting-beside as right is
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
of-them if any you should-see swift through night black

αὐτίκ᾽ ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λαῶν,
at-once — he-would-tell to-Agamemnon shepherd of-the-people
καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένηται.
and — delay of-the-ransoming of-the-corpse would-arise
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
but come to-me this tell and truly recount
ποσσῆμαρ μέμονας κτερείζέμεν Ἕκτορα δῖον,
how-many-days you-intend to-bury Hector noble
ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω."
so-that meanwhile myself both I-may-stay and the-host hold-back
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γέρων Πρίαμος θεοειδής·
Him and answered then old-man Priam godlike
"εἰ μὲν δή μ᾽ ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίῳ,
if indeed truly me you-wish to-accomplish the-funeral for-Hector noble
ὧδέ κέ μοι ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείης.
thus — for-me doing Achilles favor you-would-do
οἶσθα γὰρ ὡς κατὰ ἄστυ ἐέλμεθα, τηλόθι δ᾽ ὕλη
you-know for how within the-town we-are-pent far-off and wood
ἀξέμεν ἐξ ὄρεος, μάλα δὲ Τρῶες δεδίασιν.
to-bring from the-mountain greatly and the-Trojans are-afraid
ἐννῆμαρ μέν κ᾽ αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν,
nine-days indeed — him in the-halls we-would-mourn
τῇ δεκάτῃ δέ κε θάπτοιμεν δαινῦτό τε λαός,
on-the tenth and — we-would-bury would-feast and the-people
ἑνδεκάτῃ δέ κε τύμβον ἐπ᾽ αὐτῷ ποιήσαιμεν,
on-the-eleventh and — a-mound over him we-would-make
τῇ δὲ δυωδεκάτῃ πολεμίξομεν, εἴ περ ἀνάγκη."
on-the and twelfth we-will-fight if indeed necessity

Τὸν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Him and in-turn addressed swift-footed noble Achilles
"ἔσται τοι καὶ ταῦτα, γέρον Πρίαμ', ὡς σὺ κελεύεις·
will-be for-you also these-things old-man Priam as you bid
σχήσω γὰρ πόλεμον τόσσον χρόνον ὅσσον ἄνωγας." 670
I-will-hold-back for the-war so-long time as you-bid
Ὣς ἄρα φωνήσας ἐπὶ καρπῷ χεῖρα γέροντος
So then having-spoken at the-wrist the-hand of-the-old-man
ἔλλαβε δεξιτερήν, μή πως δείσει' ἐνὶ θυμῷ.
took right lest somehow he-fear in heart
οἱ μὲν ἄρ' ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο
they indeed then in the-forecourt of-the-house there slept
κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες,
herald and Priam shrewd in-mind counsels having
αὐτὰρ Ἀχιλλεὺς εὖδε μυχῷ κλισίης ἐϋπήκτου· 675
but Achilles slept in-the-inner-part of-the-hut well-built
τῷ δὲ Βρισηΐς παρελέξατο καλλιπάρῃος.
by-him and Briseis lay fair-cheeked

Hermes leads Priam out of the camp. At dawn Cassandra calls the city, and all the people meet the body at the gates. Andromache, Hecuba, and Helen lament over Hector. The Trojans gather wood for nine days. On the tenth they burn Hector, and they bury his bones in a golden chest under a mound.

Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
Others indeed then gods both and men horse-marshaling
εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·
slept all-night by-soft overcome sleep
ἀλλ᾽ οὐχ Ἑρμείαν ἐριούνιον ὕπνος ἔμαρπτεν,
but not Hermes the-helper sleep seized
ὁρμαίνοντ᾽ ἀνὰ θυμὸν ὅπως Πρίαμον βασιλῆα
pondering in heart how Priam the-king
νηῶν ἐκπέμψειε λαθὼν ἱεροὺς πυλαωρούς.
from-the-ships he-might-send-out escaping-the-notice-of the-sacred gatekeepers
στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
he-stood and then above head and him to word spoke
“ὦ γέρον, οὔ νύ τι σοί γε μέλει κακόν, οἷον ἔθ᾽ εὕδεις
O old-man not now at-all to-you indeed is-a-care evil that still you-sleep
ἀνδράσιν ἐν δηΐοισιν, ἐπεί σ᾽ εἴασεν Ἀχιλλεύς.
men among hostile since you has-spared Achilles
καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ᾽ ἔδωκας·
and now indeed dear son you-have-ransomed much and you-gave
σεῖο δέ κε ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα
for-you and — alive even thrice so-much would-give ransom
παῖδες τοὶ μετόπισθε λελειμμένοι, αἴ κ᾽ Ἀγαμέμνων
the-sons who behind are-left if — Agamemnon
γνώῃ σ᾽ Ἀτρεΐδης, γνώωσι δὲ πάντες Ἀχαιοί.”
learn-of you the-son-of-Atreus learn-of and all the-Achaeans

Ὣς ἔφατ', ἔδεισεν δ' ὁ γέρων, κήρυκα δ' ἀνίστη.
So he-spoke feared and the old-man the-herald and roused
τοῖσιν δ' Ἑρμείας ζεῦξ' ἵππους ἠμιόνους τε,
for-them and Hermes yoked horses mules and
ῥίμφα δ' ἄρ' αὐτὸς ἔλαυνε κατὰ στρατόν, οὐδέ τις ἔγνω.
swiftly and then himself drove through the-host nor anyone knew
Ἀλλ' ὅτε δὴ πόρον ἶξον ἐϋρρεῖος ποταμοῖο
But when indeed the-ford they-reached of-the-fair-flowing river
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
of-Xanthus eddying whom immortal begot Zeus
Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον,
Hermes indeed then went-away to high Olympus
Ἠὼς δὲ κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν,
Dawn and saffron-robed was-spreading all over the-earth
οἱ δ' ἐς ἄστυ ἔλων οἰμωγῇ τε στοναχῇ τε
they and into the-town drove with-wailing both groaning and
ἵππους, ἡμίονοι δὲ νέκυν φέρον. οὐδέ τις ἄλλος
the-horses the-mules and the-corpse bore nor any other
ἔγνω πρόσθ' ἀνδρῶν καλλιζώνων τε γυναικῶν,
knew before men fair-girdled and women
ἀλλ' ἄρα Κασσάνδρη, ἰκέλη χρυσέῃ Ἀφροδίτῃ,
but then Cassandra like golden Aphrodite
Πέργαμον εἰσαναβᾶσα φίλον πατέρ' εἰσενόησεν
Pergamum having-climbed dear father saw
ἑσταότ' ἐν δίφρῳ, κήρυκά τε ἀστυβοώτην·
standing in the-chariot herald and town-crier
τὸν δ' ἄρ' ἐφ' ἡμιόνων ἴδε κείμενον ἐν λεχέεσσι·
him and then on the-mules saw lying on a-bier
κώκυσέν τ' ἄρ' ἔπειτα γέγωνέ τε πᾶν κατὰ ἄστυ·
shrieked both then thereafter called-out and all through the-town

"ὄψεσθε, Τρῶες καὶ Τρῳάδες, Ἕκτορ' ἰόντες,
you-will-see Trojans and Trojan-women Hector coming(-to-meet-him)
εἴ ποτε καὶ ζώοντι μάχης ἐκ νοστήσαντι
if ever also living battle out-of having-returned
χαίρετ', ἐπεὶ μέγα χάρμα πόλει τ' ἦν παντί τε δήμῳ."
you-rejoiced since great joy to-the-city both he-was all and to-the-people
Ὣς ἔφατ', οὐδέ τις αὐτόθ' ἐνὶ πτόλεϊ λίπετ' ἀνὴρ
So she-spoke nor any there in the-city was-left man
οὐδὲ γυνή· πάντας γὰρ ἀάσχετον ἵκετο πένθος·
nor woman all for unbearable came grief
ἀγχοῦ δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντι.
near and they-met the-gates the-corpse bringing
πρῶται τόν γ' ἄλοχός τε φίλη καὶ πότνια μήτηρ
first him indeed wife both dear and queenly mother
τιλλέσθην, ἐπ' ἄμαξαν ἐΰτροχον ἀΐξασαι
tore-their-hair on the-wagon well-wheeled having-darted
ἁπτόμεναι κεφαλῆς· κλαίων δ' ἀμφίσταθ' ὅμιλος.
touching the-head weeping and stood-around the-throng
καί νύ κε δὴ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
and now — indeed all day until the-sun setting
Ἕκτορα δάκρυ χέοντες ὀδύροντο πρὸ πυλάων,
Hector tears shedding they-would-have-mourned before the-gates
εἰ μὴ ἄρ' ἐκ δίφροιο γέρων λαοῖσι μετηύδα·
if not then from the-chariot the-old-man to-the-people spoke
"εἴξατέ μοι οὐρεῦσι διελθέμεν· αὐτὰρ ἔπειτα
make-way for-me for-the-mules to-pass-through but afterward
ἄσεσθε κλαυθμοῖο, ἐπὴν ἀγάγωμι δόμονδε."
you-will-have-your-fill of-weeping when I-have-brought(-him) home

Ὣς ἔφαθ', οἱ δὲ διέστησαν καὶ εἶξαν ἀπήνῃ.
So he-spoke they and stood-apart and made-way for-the-wagon
οἱ δ' ἐπεὶ εἰσάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπειτα
they and when they-had-brought(-him)-into glorious house him indeed then
τρητοῖς ἐν λεχέεσσι θέσαν, παρὰ δ' εἶσαν ἀοιδοὺς
corded on bed placed beside and seated singers
θρήνων ἐξάρχους, οἵ τε στονόεσσαν ἀοιδὴν
of-dirges leaders who — mournful song
οἱ μὲν ἄρ' ἐθρήνεον, ἐπὶ δὲ στενάχοντο γυναῖκες.
they indeed then sang-dirges thereat and groaned the-women
τῇσιν δ' Ἀνδρομάχη λευκώλενος ἦρχε γόοιο,
among-them and Andromache white-armed led lament
Ἕκτορος ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα·
of-Hector man-slaying head in hands holding
"ἆνερ, ἀπ' αἰῶνος νέος ὤλεο, κὰδ δέ με χήρην
husband from life young you-perished down and me widow
λείπεις ἐν μεγάροισι· πάϊς δ' ἔτι νήπιος αὖτως,
you-leave in halls the-child and still infant merely
ὃν τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι, οὐδέ μιν οἴω
whom we-bore you both I and ill-fated nor him I-think
ἥβην ἵξεσθαι· πρὶν γὰρ πόλις ἥδε κατ' ἄκρης
youth to-reach before for city this from top
πέρσεται· ἦ γὰρ ὄλωλας ἐπίσκοπος, ὅς τέ μιν αὐτὴν
will-be-sacked truly for you-have-perished guardian who — her herself
ῥύσκευ, ἔχες δ' ἀλόχους κεδνὰς καὶ νήπια τέκνα,
used-to-protect you-kept and wives cherished and infant children
αἳ δή τοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῇσι,
who indeed you-know soon in-ships will-be-carried hollow

καὶ μὲν ἐγὼ μετὰ τῇσι· σὺ δ' αὖ, τέκος, ἢ ἐμοὶ αὐτῇ
and indeed I with them you and in-turn child either with-me myself
ἕψεαι, ἔνθα κεν ἔργα ἀεικέα ἐργάζοιο
will-follow where — works unseemly you-would-work
ἀθλεύων πρὸ ἄνακτος ἀμειλίχου, ἤ τις Ἀχαιῶν
toiling before master harsh or some of-the-Achaeans
ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου, λυγρὸν ὄλεθρον,
will-hurl by-hand having-seized from the-tower woeful death
χωόμενος, ᾧ δή που ἀδελφεὸν ἔκτανεν Ἕκτωρ
angered whose indeed perhaps brother killed Hector
ἢ πατέρ', ἠὲ καὶ υἱόν, ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
or father or even son since very many of-the-Achaeans
Ἕκτορος ἐν παλάμῃσιν ὀδὰξ ἕλον ἄσπετον οὖδας.
of-Hector at hands with-teeth bit boundless earth
οὐ γὰρ μείλιχος ἔσκε πατὴρ τεὸς ἐν δαΐ λυγρῇ·
not for gentle was father your in battle woeful
τῶ καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ἄστυ,
therefore also him the-people indeed mourn through the-town
ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας
accursed and for-your-parents lament and grief you-have-made
Ἕκτορ· ἐμοὶ δὲ μάλιστα λελείψεται ἄλγεα λυγρά.
Hector for-me and most will-be-left griefs woeful
οὐ γάρ μοι θνήσκων λεχέων ἐκ χεῖρας ὄρεξας,
not for to-me dying the-bed from hands you-stretched
οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, οὗ τέ κεν αἰεὶ
nor any to-me you-said shrewd word which — — always
μεμνήμην νύκτας τε καὶ ἤματα δάκρυ χέουσα."
I-might-remember nights both and days tear shedding

Ὣς ἔφατο κλαίουσ', ἐπὶ δὲ στενάχοντο γυναῖκες.
So she-spoke weeping thereat and groaned the-women
τῇσιν δ' αὖθ' Ἑκάβη ἀδινοῦ ἐξῆρχε γόοιο·
among-them and in-turn Hecuba vehement led lament
"Ἕκτορ, ἐμῷ θυμῷ πάντων πολὺ φίλτατε παίδων,
Hector to-my heart of-all far dearest children
ἦ μέν μοι ζωός περ ἐὼν φίλος ἦσθα θεοῖσιν·
truly indeed to-me living though being dear you-were to-the-gods
οἱ δ' ἄρα σεῦ κήδοντο καὶ ἐν θανάτοιό περ αἴσῃ. 750
they and then for-you cared even in of-death though the-lot
ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς πόδας ὠκὺς Ἀχιλλεὺς
others indeed for sons my in-feet swift Achilles
πέρνασχ', ὅν τιν' ἕλεσκε, πέρην ἁλὸς ἀτρυγέτοιο,
sold whom any he-took beyond the-sea barren
ἐς Σάμον ἔς τ' Ἴμβρον καὶ Λῆμνον ἀμιχθαλόεσσαν·
to Samos to and Imbros and Lemnos smoky
σεῦ δ' ἐπεὶ ἐξέλετο ψυχὴν ταναήκεϊ χαλκῷ,
of-you but when he-took-away the-life with-long-edged bronze
πολλὰ ῥυστάζεσκεν ἑοῦ περὶ σῆμ' ἑτάροιο, 755
much he-dragged(-you) his-own around the-tomb of-comrade
Πατρόκλου, τὸν ἔπεφνες· ἀνέστησεν δέ μιν οὐδ' ὣς.
Patroclus whom you-slew raised and him not-even so
νῦν δέ μοι ἑρσήεις καὶ πρόσφατος ἐν μεγάροισι
now and to-me dewy-fresh and newly-slain in halls
κεῖσαι, τῷ ἴκελος ὅν τ' ἀργυρότοξος Ἀπόλλων,
you-lie to-him like whom — silver-bowed Apollo
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχόμενος κατέπεφνεν."
with-his gentle arrows assailing has-slain

Ὣς ἔφατο κλαίουσα, γόον δ' ἀλίαστον ὄρινε.
So she-spoke weeping lament and unceasing roused
τῇσι δ' ἔπειθ' Ἑλένη τριτάτη ἐξῆρχε γόοιο·
among-them and then Helen third led lament
"Ἕκτορ, ἐμῷ θυμῷ δαέρων πολὺ φίλτατε πάντων,
Hector to-my heart of-brothers-in-law far dearest of-all
ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδής,
truly indeed to-me husband is Alexander godlike
ὅς μ' ἄγαγε Τροίηνδ'· ὡς πρὶν ὤφελλον ὀλέσθαι.
who me brought to-Troy would-that before I-ought to-perish
ἤδη γὰρ νῦν μοι τόδ' ἐεικοστὸν ἔτος ἐστὶν
already for now to-me this twentieth year is
ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
from when thence I-went and my have-gone-from fatherland
ἀλλ' οὔ πω σεῦ ἄκουσα κακὸν ἔπος οὐδ' ἀσύφηλον·
but not yet from-you I-heard evil word nor spiteful
ἀλλ' εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
but if any me also other in halls reproached
δαέρων ἢ γαλόων ἢ εἰνατέρων εὐπέπλων,
of-brothers-in-law or of-sisters-in-law or of-wives-of-brothers-in-law fair-robed
ἢ ἑκυρή — ἑκυρὸς δὲ πατὴρ ὡς ἤπιος αἰεί—,
or mother-in-law father-in-law and a-father like gentle always
ἀλλὰ σὺ τὸν ἐπέεσσι παραιφάμενος κατέρυκες
but you him with-words persuading restrained
σῇ τ' ἀγανοφροσύνῃ καὶ σοῖς ἀγανοῖς ἐπέεσσι.
by-your both gentleness and by-your gentle words
τῶ σέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον ἀχνυμένη κῆρ·
therefore you both together I-weep and me ill-fated grieving in-heart

οὐ γάρ τίς μοι ἔτ᾽ ἄλλος ἐνὶ Τροίῃ εὐρείῃ
not for any to-me still other in Troy wide
ἤπιος οὐδὲ φίλος, πάντες δέ με πεφρίκασιν.”
gentle nor dear all and me shudder-at

Ὣς ἔφατο κλαίουσ᾽, ἐπὶ δ᾽ ἔστενε δῆμος ἀπείρων.
So she-spoke weeping thereat and groaned the-people countless
λαοῖσιν δ᾽ ὅ γέρων Πρίαμος μετὰ μῦθον ἔειπεν·
to-the-people and the old-man Priam among word spoke
“ἄξετε νῦν, Τρῶες, ξύλα ἄστυδε, μηδέ τι θυμῷ
bring now Trojans wood to-the-town nor at-all in-heart
δείσητ᾽ Ἀργείων πυκινὸν λόχον· ἦ γὰρ Ἀχιλλεὺς
fear of-the-Argives cunning ambush truly for Achilles
πέμπων μ᾽ ὧδ᾽ ἐπέτελλε μελαινάων ἀπὸ νηῶν,
sending me thus enjoined black from the-ships
μὴ πρὶν πημανέειν, πρὶν δωδεκάτη μόλῃ ἠώς.”
not before to-do-harm before the-twelfth comes dawn

Ὣς ἔφαθ᾽, οἱ δ᾽ ὑπ᾽ ἀμάξῃσιν βόας ἡμιόνους τε
So he-spoke they and under the-wagons oxen mules and
ζεύγνυσαν, αἶψα δ᾽ ἔπειτα πρὸ ἄστεος ἠγερέθοντο.
yoked quickly and then before the-town gathered
ἐννῆμαρ μὲν τοί γε ἀγίνεον ἄσπετον ὕλην·
nine-days indeed they indeed brought boundless wood
ἀλλ᾽ ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς,
but when indeed the-tenth appeared light-bringing dawn
καὶ τότ᾽ ἄρ᾽ ἐξέφερον θρασὺν Ἕκτορα δάκρυ χέοντες,
even then then they-carried-out bold Hector tears shedding
ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν, ἐν δ᾽ ἔβαλον πῦρ.
in and pyre topmost the-corpse placed in and cast fire

Ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
When and early-born appeared rosy-fingered Dawn
τῆμος ἄρ᾽ ἀμφὶ πυρὴν κλυτοῦ Ἕκτορος ἔγρετο λαός.
then then around the-pyre of-glorious Hector gathered the-people
αὐτὰρ ἐπεί ῥ᾽ ἤγερθεν ὁμηγερέες τ᾽ ἐγένοντο,
but when then they-were-gathered assembled and became
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ
first indeed over the-pyre quenched with-sparkling wine
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
all as-much-as held of-fire the-might but then
ὀστέα λευκὰ λέγοντο κασίγνητοί θ᾽ ἕταροί τε
the-bones white gathered brothers both comrades and
μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν.
lamenting swelling and ran-down tear from-cheeks
καὶ τά γε χρυσείην ἐς λάρνακα θῆκαν ἑλόντες
and them indeed golden into a-chest placed having-taken
πορφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσιν·
with-purple robes having-covered soft
αἶψα δ᾽ ἄρ᾽ ἐς κοίλην κάπετον θέσαν, αὐτὰρ ὕπερθε
quickly and then into hollow grave placed but above
πυκνοῖσιν λάεσσι κατεστόρεσαν μεγάλοισι·
with-close-set stones they-paved great
ῥίμφα δὲ σῆμ᾽ ἔχεαν, περὶ δὲ σκοποὶ ἥατο πάντῃ,
quickly and a-mound heaped around and watchers sat everywhere
μὴ πρὶν ἐφορμηθεῖεν ἐϋκνήμιδες Ἀχαιοί.
lest before should-attack the-well-greaved Achaeans

χεύαντες δὲ τὸ σῆμα πάλιν κίον· αὐτὰρ ἔπειτα
having-heaped and the mound back went but then
εὖ συναγειρόμενοι δαίνυντ' ἐρικυδέα δαῖτα
well gathering feasted glorious feast
δώμασιν ἐν Πριάμοιο, διοτρεφέος βασιλῆος.
house in of-Priam Zeus-nurtured king
Ὣς οἵ γ' ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο.
So they indeed tended the-burial of-Hector horse-taming
